P. grein

BIBLIOTECA NAZ. VITT. EMANUELE
68
21/C
25

XXV. 10. 10.

ὉΜΉΡΟΥ ΚΑῚ ἩΣΙΌ-
ΔΟΥ ἈΓΏΝ.

HOMERI ET HESIO-
DI CERTAMEN.

Nunc primùm luce donatum.

BIBLIOTECA NAZ. VITT. EMANUELE ROMA

MATRONIS ET ALIORVM
PARODIÆ,
Ex HOMERI *verſibus parua immutatio-
ne lepidè detortis conſutæ.*

HOMERICORVM HEROVM
epitaphia.

Cum duplici interpretatione Latina.



SOCIETATIS IESU

ANNO M. D. LXXIII,
excudebat Henr. Stephanus.

CVM PRIVILEGIO CAES.
MAIESTATIS.

ILLVSTRI AC GENEROSO DOMI-no, domino Philippo Ludouico, comiti in Hanavv & Rienec, domino in Mintzēberg. &c.

BIBLIOTECA NAZ. ROMA VITT. EMANUELE

HENR. STEPH. S. D.

ADDVCO ad te, generoſiſſime Philippe, ſimúlque ad doctiſſimos quos in comitatu tuo habes viros, par poetarum, tanquam par gladiatorum: vt corã te in arenam tantis póſt ſeculis rediuiui deſcendant. Quæris quínam ſint illi? Nimirum HOMERVS & HESIODVS: fama ſuper æthera noti, vt poeticè de tãtis poetis loquar. Fuiſſe quidem olim & nunc quoque eſſe

ignotis etiam orbis partibus notos credibile eſt: ideóque famam vltra ipſum terrarum orbem extendiſſe, eadem illa Maroniana muſa canere fortaſſe non dubitaret. Eius autem Latinis verſibus aptè hoſce Græcos ſuccinere poſſemus,

Τίς ποθ' Ὁμηρείης μεγάλης ὀπὸς ἐστὶν ἀ-
πευθής;
Τίς χθών, τίς δὲ θάλασσα μάχην οὐκ οἶδεν
Ἀχαιῶν;
Δῆμος ὁ Κιμμερίων, πολυδερκέος ἄμμορος
αἴγλης
Ἠελίου, Τροίης ὄνομ' ἔκλυεν, ἔκλυεν Ἄτλας,
Οὐρανὸν εὐρύστερνον ἔχων ἐπικείμενον ὤμοις.

Quos verſus ita Latinè reddidi,

Quis magnam vocem, quis non au-
diuit, Homeri?
Quod mare, quæ tellus non prælia
nouit Achiuûm?
Cimmeriωn populus, ſolis qui cun-
cta tuentis

Neſcius, audiuit nomen Troiæ: audiit Atlas,
Cuius grãde humeris incũbit pondus olympi.

Non eſt igitur quòd tã celebres celebrare, aut tot tantiſq; laudibus ab ipſa etiam antiquitate ornatos laudare aggrediar: nequis mari aquam addere,& ligna in ſyluam velle portare dicat. Verùm habeo quod te Homeri verbis rogem: vt ſua carmina recitantem attẽtè audias. Hoc enim ſi à te impetrauerit, ſperat fore (atq; hæc ſpes eũ minimè fallet, opinor) vt à te contrà quàm à Panœde rege, victor declaretur atq; coronetur. Equidem quòd ipſius Homeri vultũ indignãti ſimilẽ etiam nunc eſſe vides, quicquid indignationis eſt,ex recordatione ſentẽtiæ ab illo rege aduerſus ipſum latæ proficiſcitur. Ego verò multis eum verbis erigere

atque ſolari conatus ſum:quum di-
cere non iam cum tali principe rem
illi fore qui Heſiodum ipſi hoc ſolo
nomine antepoſiturus ſit, quòd in
agricultura, non in bellis, muſam
ſuam exercuerit: ſed cum eo qui
quãuis cultus agrorũ præcepta non
aſpernetur, Achillis tamẽ libentiùs
quàm Ariſtæi laudes, & claſſicum
maiori cum voluptate quàm mugi-
tum boum aut balatum ouiũ audi-
re ſoleat. Animaduerti certè, quum
ab eo interrogatus de tuo nomine,
Philippum te vocari dixiſſem, ex-
hilaratum aliquãtum fuiſſe, tuúm-
que hoc nomen in omen optimum
traxiſſe. Atq; adeò, ſi tacitã eius co-
gitationem diuinare fas eſt, ſuum i-
pſius verſum παρῳδοῦντα, intra ſe di-
xiſſe crediderim,

Εἷς οἰωνὸς ἄριστος, ἔχειν σε Φίλιππε δικαστήν.

Ne ego quidem illud omẽ leue eſſe

dixerim:quum(ſicut in meo artis equeſtris encomio, nondum edito, docui) bellicoſos & Martios viros, ac totos etiam populos, non ſolùm πληξίππους & κέντορας ἵππων, & ἱπποδάμους, ſed etiã φιλίππους vocari videamus. Euge ergo generoſiſſime Philippe, Homerũ quo meretur & quẽ à te expectat fauore proſequere (neque enim Areopagiticũ futurũ eſt hoc iudicium, à quo fauorẽ procul abeſſe oporteat) vt ille aliquando muſam ſuam ad canẽdas tuas quoque laudes commodare dignetur: ſi quidẽ quo cœpiſti pede perrexeris, ac de te cõceptæ à multis expectationi reſponderis. Quod vt præſtare poſſis Deum Opt. Max. precabor. Vale.

¶.iiii.

ΠΕΡΙ῾ ὉΜΗ´ΡΟΥ ΚΑΙ`
ἩΣΙΟ´ΔΟΥ, ΚΑΙ` ΤΟΥ˜
γένους καὶ ἀγῶνος αὐτῶν.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ὍΜΗΡΟΝ καὶ Ἡσίοδον, τοὺς θειοτάτους ποιητάς, πάντες ἄνθρωποι πολίτας ἰδίους εὔχονται λέγεσθαι. ἀλλ' Ἡσίοδος μὲν τὴν ἰδίαν ὀνομάσας πατρίδα, πάντας τῆς φιλονεικίας ἀπήλλαξεν, εἰπὼν ὡς ὁ πατὴρ αὐτοῦ,

Εἴσατο δ' ἄγχ' Ἑλικῶνος, ὀϊζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέποτ' ἐσθλῇ.

Ὅμηρον δὲ πᾶσαι ὡς εἰπεῖν αἱ πόλεις καὶ οἱ ἔποικοι αὐτῶν παρ' ἑαυτοῖς γεγενῆσθαι λέγουσι· καὶ πρῶτοί γε Σμυρναῖοι Μέλητος ὄντα τοῦ παρ' αὐτοῖς ποταμοῦ καὶ Κρηϊθίδος νύμφης, κεκλῆσθαί φασι πρότερον Μελησιγενῆ· ὕστερον μέντοι τυφλωθέντα, Ὅμηρον μετονομασθῆναι, διὰ τὴν παρ' αὐτοῖς ἐπὶ τῶν τοιούτων συνήθη προσηγορίαν. Χῖοι δὲ πάλιν τεκμήρια φέρουσιν, ἴδιον εἶναι πολίτην, λέγοντες καὶ περισώζεσθαί τινας ἐκ τοῦ γένους αὐτοῦ παρ' αὐτοῖς, Ὁμηρίδας καλουμένους. Κολοφώνιοι δὲ καὶ τόπον δεικνύουσιν ἐν ᾧ φασιν αὐτὸν γράμματα διδάσκοντα, τῆς ποιήσεως ἄρξασθαι, καὶ ποιῆσαι πρῶτον τὸν Μαργίτην.

περὶ δὲ τῶν γονέων αὐτοῦ πάλιν πολλὴ διαφωνία παρὰ πᾶσίν ἐστιν. Ἑλλάνικος μὲν γὰρ καὶ Κλεάνθης Βίωνα λέγουσιν, Εὐγαίων δὲ Μέλητα, Καλλικλῆς δὲ μισα ςορ. Δημόκριτος δὲ Τροιζήνιος Δαήμονα ἔμπορον· ἔνιοι δὲ Ταμύραν· Αἰγύπτιοι δὲ Μενέμαχον ἱερογραμματέα· εἰσὶ δ᾽ οἳ Τηλέμαχον τὸν Ὀδυσσέως, μητέρα δ᾽ οἱ μὲν Μῆτιν, οἱ δὲ Κρηθηίδα, οἱ δὲ Θεμίστην, οἱ δὲ Εὐγνηθώ· ἔνιοι δὲ, Ἰθακησίαν τινὰ ὑπὸ Φοινίκων ἀπεμποληθεῖσαν· οἱ δὲ Καλλιόπην τὴν μοῦσαν· τινὲς δὲ, Πολυκάστην τὴν Νέστορος. ἐκαλεῖτο δὲ Μέλης, ὡς δέ τινες φασὶ, Μελησιγένης. ὡς δὲ ἔνιοι, Αὐλητὴν ὀνομασθῆναι αὐτόν φασι. τινὲς Ὅμηρον, διὰ τὸ τὸν πατέρα αὐτοῦ ὅμηρον δοθῆναι ὑπὸ Κυπρίων Πέρσαις· οἱ δὲ, διὰ τὴν πήρωσιν τῶν ὀμμάτων. παρὰ γὰρ τοῖς Αἰολεῦσιν οὕτως οἱ πηροὶ καλοῦνται. ὅπερ δὲ ἀκηκόαμεν ἐπὶ τοῦ θειοτάτου αὐτοκράτορος Ἀδριανοῦ εἰρημένον ὑπὸ τῆς Πυθίας περὶ Ὁμήρου, ἐκθησόμεθα. τοῦ γὰρ βασιλέως πυθομένου πόθεν Ὅμηρος καὶ τίνος, ἀπεφοίβασε δι᾽ ἑξαμέτρου τόνδε τὸν τρόπον,

Ἄγνωστόν μ᾽ ἔρεαι γενεὴν καὶ πατρίδα γαῖαν
Ἀμβροσίου σειρῆνος. ἔδος δ᾽ Ἰθακήσιός ἐστιν·
Τηλέμαχος δὲ πατὴρ, καὶ Νεστορέη Ἐπικάστη
Μήτηρ, ἥ μιν ἔτικτε βροτῶν πολὺ πάνσοφον ἄνδρα.

οἷς μάλιστα δεῖ πιστεύειν, διά τε τὸν πυθόμενον καὶ τὸν ἀποκρινάμενον· ἄλλως τε οὕτως τοῦ ποιητοῦ μεγαλοφυῶς τὸν προπάτορα διὰ τῶν ἐπῶν

δεδοξακότες. ἔνιοι μὲν οὖν αὐτὸν προγενέστερον Ἡσιόδου φασὶν εἶναι, τινὲς δὲ, νεώτερον καὶ συγγενῆ. γενεαλογοῦσί τε οὕτως. Ἀπόλλωνός φασι καὶ Θοώσης τῆς Ποσειδῶνος γενέσθαι Λίνον, Λίνου δὲ, Πίερον· Πιέρου δὲ καὶ νύμφης Μεθώνης, Οἴαγρον· Οἰάγρου δὲ καὶ Καλλιόπης, Ὀρφέα· Ὀρφέως δὲ Ὄρτην· τοῦ δὲ, Ἁρμονίδην· τοῦ δὲ, Φιλοτέρπην· τοῦ δὲ, Εὔφημον· τοῦ δὲ, Ἐπιφράδην· τοῦ δὲ, Μελάνωπον· τούτου δὲ Δῖον καὶ Ἀπέλλαιον· Δίου δὲ καὶ Πυκιμήδης τῆς Ἀπόλλωνος θυγατρὸς, Ἡσίοδον καὶ Πέρσην· Πέρσου δὲ, Μαίονα· Μαίονος δὲ θυγατρὸς καὶ Μέλητος τοῦ ποταμοῦ, Ὅμηρον.

Τινὲς δὲ συνακμάσαι φασὶν αὐτούς· ὥστε καὶ ἀγωνίσασθαι ὁμόσε ἐν Αὐλίδι τῆς Βοιωτίας. ποιήσαντα γὰρ τὸν Μαργίτην Ὅμηρον περιέρχεσθαι κατὰ πόλεις ῥαψῳδοῦντα. ἐλθόντα δὲ καὶ εἰς Δελφοὺς, περὶ τῆς πατρίδος αὐτοῦ πυνθάνεσθαι, τίς εἴη. τὴν δὲ Πυθίαν εἰπεῖν,

Ἔστιν Ἴος νῆσος μητρὸς πατρὶς, ἥ σε θανόντα
Δέξεται. ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι.

τὸν δὲ, ἀκούσαντα, περιίστασθαι μὲν τὴν εἰς Ἴον ἄφιξιν, διατρίβειν δὲ περὶ τὴν ἐκεῖ χώραν. κατὰ δὲ τὸν αὐτὸν χρόνον Γανύκτωρ ἐπιτάφιον τοῦ πατρὸς Ἀμφιδάμαντος βασιλέως Εὐβοίας ἐπιτελῶν, πάντας τοὺς ἐπισήμους ἄνδρας οὐ μόνον ῥώμῃ καὶ τάχει, ἀλλὰ καὶ σοφίᾳ, ἐπὶ τὸν ἀγῶνα, μεγάλαις δωρεαῖς τιμῶν, συνεκάλεσε. καὶ οὗτοι οὖν ἐκ τύχης, ὥς φασι, συμβαλόντες ἀλλήλοις, ἦλθον εἰς

τὴν Χαλκίδα. τοῦ δὲ ἀγῶνος ἄλλοι τέ τινες τῶν ἐπισήμων Χαλκιδέων ἐκαθέζοντο κριταὶ, καὶ μετ' αὐτῶν Πανοίδης, ἀδελφὸς ὢν τοῦ τετελευτηκότος. ἀμφοτέρων δὲ τῶν ποιητῶν θαυμαστῶς ἀγωνισαμένων, νικῆσαι φασὶ τὸν Ἡσίοδον τὸν τρόπον τοῦτον. προελθόντα γὰρ εἰς τὸ μέσον, πυνθάνεσθαι τοῦ Ὁμήρου καθ' ἓν ἕκαστον· τὸν δὲ Ὅμηρον ἀποκρίνασθαι. φησὶν οὖν Ἡσίοδος,

Υἱὲ Μέλητος Ὅμηρε, θεῶν ἄπο μήδεα εἰδὼς,
Εἴπ' ἄγε μοι πάμπρωτα τί φέρτατόν ἐστι βροτοῖσιν.

Ὅμηρος,

Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
Φύντα δ' ὅπως ὤκιστα πύλας ἀΐδαο περῆσαι.

Ἡσίοδος τὸ δεύτερον,

Εἴπ' ἄγε μοι καὶ τοῦτο θεοῖς ἐπιείκελ' Ὅμηρε,
Τί θνητοῖσιν ἄριστον ὀΐεαι ἐν φρεσὶν εἶναι.

ὁ δὲ,

Ὁππόταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ,
Ἥμενοι ἑξείης· παρὰ δὲ πλήθωσι τράπεζαι
Σίτου καὶ κρειῶν· μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
Οἰνοχόος φορέῃσι, καὶ ἐγχείῃ δεπάεσσι.
Τοῦτό τι μοὶ κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

ῥηθέντων δὲ τῶν ἐπῶν, οὕτω σφοδρῶς φασὶ θαυμασθῆναι ὑπὸ τῶν Ἑλλήνων τὰ ἔπη, ὥστε χρυσοῦς αὐτοὺς στίχους προσαγορευθῆναι, καὶ ἔτι καὶ νῦν ἐν ταῖς κοιναῖς θυσίαις πρὸ τῶν δείπνων καὶ σπονδῶν προκατεύχεσθαι πάντας. ὁ δὲ Ἡσίοδος ἀ-

χθεὶς ἐπὶ τῇ Ὁμήρου εὐημερίᾳ, ἐπὶ τὴν τῶν ἀπόρων ὥρμησεν ἐπερώτησιν· καί φησι τούσδε τοὺς στίχους,

Μοῦσ' ἄγε μοι τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα,
Τῶν μὲν μηδὲν ἄειδε, σὺ δ' ἄλλης μνῆσαι ἀοιδῆς.

Ὁ δὲ Ὅμηρος, βουλόμενος ἀκολούθως τὸ ἄπορον λῦσαι, φησίν,

Οὐδέποτ' ἀμφὶ Διὸς τύμβῳ *
Ἅρματα συντρίψουσιν, ἐρίζοντες περὶ νίκης.

καλῶς δὲ καὶ ἐν τούτοις ἀπαντήσαντος, ἐπὶ τὰς ἀμφιβόλους γνώμας ὥρμησεν ὁ Ἡσίοδος· καὶ πλείονας στίχους λέγων, ἠξίου καθ' ἕνα ἕκαστον συμφώνως ἀποκρίνασθαι τὸν Ὅμηρον. ἔστιν οὖν ὁ μὲν πρῶτος, Ἡσιόδου· ὁ δὲ ἑξῆς, Ὁμήρου. ἐνίοτε δὲ καὶ διὰ δύο στίχων τὴν ἐπερώτησιν ποιουμένου τοῦ Ἡσιόδου.

ΗΣΙΟΔΟΣ.

Δεῖπνον ἔπειθ' εἵλοντο βοῶν κρέα κ' αὐχένας ἵππων.

ΟΜΗΡΟΣ.

Ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμοιο κορέσθην.

ΗΣΙΟΔΟΣ.

Καὶ Φρύγες, οἳ πάντων ἀνδρῶν ἐπὶ νηυσὶν ἄριστοι.

ὍΜΗΡΟΣ.

Ἀνδράσι ληϊστῆρσιν ἐπ᾽ ἀκτῆς δόρπον ἑλέσθαι.

ἩΣΙΌΔΟΣ.

Ἡρακλῆς ἀπέλυσεν ἀπ᾽ ὤμων καμπύλα τόξα.

ὍΜΗΡΟΣ.

Χερσὶ βαλὼν ἰοῖσιν ὅλων κατὰ φῦλα γιγάντων.

ἩΣΙΌΔΟΣ.

Οὗτος ἀνὴρ ἀνδρός τ᾽ ἀγαθοῦ καὶ ἀνάλκιδός ἐστι.

ὍΜΗΡΟΣ.

Μητρός. ἐπεὶ πόλεμος χαλεπὸς πάσῃσι γυναιξί.

ἩΣΙΌΔΟΣ.

Οὔτ᾽ ἄρ σοί γε πατὴρ ἐμίγη καὶ πότνια μήτηρ.

ὍΜΗΡΟΣ.

Σῶμα τόγ᾽ ἐσπείραντο διὰ χρυσῆν Ἀφροδίτην.

ἩΣΙΌΔΟΣ.

Αὐτὰρ ἐπεὶ δμήθη γάμῳ Ἄρτεμις ἰοχέαιρα.

ὍΜΗΡΟΣ.

Καλλιστὼ κατέπεφνεν ἀπ᾽ ἀργυρέοιο βιοῖο.

ἩΣΙΌΔΟΣ.

Ὣς οἱ μὲν δαίνυντο πανήμεροι, οὐδὲν ἔχοντες.

ὍΜΗΡΟΣ.

Οἴκοθεν. ἀλλὰ παρέχειν ἅπαξ ἀνδρῶν Ἀγαμέ-(μνων.

ἩΣΙΌΔΟΣ.

Δεῖπνον δειπνήσαντες ἐνὶ σποδῷ αἰθαλοέσσῃ.

ὍΜΗΡΟΣ.

Σύλλεγον ὀστέα λευκὰ βοὸς κατατεθνειῶτος.

ἩΣΙΌΔΟΣ.

Παιδὸς ὑπερθύμου Σαρπηδόνος ἀντιθέοιο.

ὍΜΗΡΟΣ.

Ἥμεῖς δ᾽ ἀμπεδίον Σιμούντιον ἥμενοι οὕτως.

ἩΣΙΌΔΟΣ.

Ἵομεν ἐκ νηῶν ὁδὸν, ἀμφ᾽ ὤμοισιν ἔχοντες.

ὍΜΗΡΟΣ.

Φάσγανα κωπήεντα, καὶ αἰγανέας δολιχαύλους

ἩΣΙΌΔΟΣ.

Δὴ τότ᾽ ἀριστῆες κοῦροι χείρεσσι θαλάσσης.

ὍΜΗΡΟΣ.

Ἀσμενοι ἐσσυμένως τε ἀπείρυσαν ὠκύαλον ναῦν.

ἩΣΙΌΔΟΣ.

Κολχίδ᾽ ἔπειθ᾽ ἵκοντο, καὶ Αἰήτην βασιλῆα.

ΟΜΗΡΟΣ.

Φεῦγον, ἐπεὶ γίνωσκον ἀνέστιον, ἠδ᾽ ἀθέμιστον.

ΗΣΙΟΔΟΣ.

Αὐτὰρ ἐπεὶ σπεῖσαν τε καὶ ἔκπιον, οἶδμα θαλάσσης.

ΟΜΗΡΟΣ.

Ποντοπορεῖν ἤμελλον ἐϋσσέλμων ἐπὶ νηῶν.

ΗΣΙΟΔΟΣ.

Τοῖσιν δ᾽ Ἀτρείδης μεγάλ᾽ εὔχετο πᾶσιν, ὀλέσθαι.

ΟΜΗΡΟΣ.

Μηδέποτ᾽ ἐν πόντῳ. καὶ φωνήσας ἔπος ηὔδα.

ΗΣΙΟΔΟΣ.

Ἐσθίετ᾽ ὦ ξεῖνοι καὶ πίνετε. μηδέ τις ὑμῶν.

ΟΜΗΡΟΣ.

Οἴκαδε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν
Πημανθείς· ἀλλ᾽ αὖθις ἀπήμονες οἴκαδ᾽ ἵκοισθε.

πρὸς πάντα δὲ τοῦ Ὁμήρου καλῶς ἀπαντήσαντος, πάλιν φησὶν ὁ Ἡσίοδος,

Τοῦτό τι δή μοι μοῦνον ἐειρομένῳ κατάλεξον,
Πόσσοι ἅμ᾽ Ἀτρείδῃσιν ἐς Ἴλιον ἦλθον Ἀχαιοί.

ὁ δὲ διὰ λογιστικοῦ προβλήματος ἀποκρίνεται οὕτως,

Πεντήκοντ' ἦσαν πυρὸς ἐσχάραι· ἐν δὲ ἑκάστῃ
Πεντήκοντ' ὀβελοὶ, περὶ δὲ κρέα πεντήκοντα·
Τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

Τοῦτο δὲ εὑρίσκεται πλῆθος ἄπιστον. τῶν γὰρ ἐσχαρῶν οὐσῶν ν', ὀβελίσκοι γίνονται πεντακόσιοι, καὶ χιλιάδες β. κρεῶν δὲ δεκαδύο μυριάδες ͵ευν. κατὰ πάντα δὴ τοῦ Ὁμήρου ὑπερτεροῦντος, φθονῶν ὁ Ἡσίοδος ἄρχεται πάλιν,

Υἱὲ Μέλητος Ὅμηρ', εἴπερ τιμῶσί σε Μοῦσαι,
Ὡς λόγος, ὑψίστοιο Διὸς μεγάλοιο θύγατρες,
Λέξον μέτρον ἐναρμόζον, ὅ,τι δὴ θνητοῖσι
Κάλλιστον καὶ ἔχθιστον. ποθέω γὰρ ἀκοῦσαι.

ὁ δέ φησι,

Ἡσίοδ' ἔκγονε Δίου, ἑκόντα με ταῦτα κελεύεις
Εἰπεῖν· αὐτὰρ ἐγὼ μάλα τοι πρόφρων ἀγορεύσω.
Κάλλιστον μὲν τῶν ἀγαθῶν ἐστι, μέτρον εἶναι
Αὐτὸν ἑαυτῷ· τῶν δὲ κακῶν ἔχθιστον ἁπάντων,
Εὔνουν εἶναι ἑαυτῷ ἀεὶ χρόνον ἐς τὸν ἅπαντα.
Ἄλλο δὲ πᾶν ὅ,τι σῷ θυμῷ φίλον ἐστὶν ἐρῶτα.

ΗΣΙΟΔΟΣ.

Πῶς ἂν ἄριστ' οἰκοῖντο πόλεις, καὶ ἐν ἤθεσι ποίοις;

ΟΜΗΡΟΣ.

Εἰ μὴ κερδαίνειν ἀπὸ τῶν αἰσχρῶν ἐθέλοιεν·
Οἱ δ' ἀγαθοὶ τιμῷντο, δίκη δ' ἀδίκοισιν ἐπείη.
Εὔχεσθαι δὲ θεοῖς ὅ,τι πάντων ἐστὶν ἄμεινον.

ἩΣΊΟΔΟΣ.

Ἐν δ' ἐλαχίστῳ ἄριστον ἔχειν σ' ὅ,τι φύεται εἰπεῖν.

ὍΜΗΡΟΣ.

Ὡς μὲν ἐμῇ γνώμῃ, φρένες ἐσθλαὶ σώμασιν ἀνδρῶν.

ἩΣΊΟΔΟΣ.

Ἡ δὲ δικαιοσύνη τε καὶ ἀνδρεία δύναται τί;

ὍΜΗΡΟΣ.

Κοινὰς ὠφελίας ἰδίοις μόχθοισι πορίζειν.

ἩΣΊΟΔΟΣ.

Τῆς σοφίας δὲ τί τέκμαρ ἐπ' ἀνθρώποισι πέφυκεν;

ὍΜΗΡΟΣ.

Γινώσκειν τὰ παρόντ' ὀρθῶς, καιρῷ δ' ἅμ' ἕπεσθαι.

ἩΣΊΟΔΟΣ.

Πιστεῦσαι δὲ βροτοῖσι ποῖον χρέος ἄξιόν ἐστιν;

ὍΜΗΡΟΣ.

Οἷς αὐτὸς κίνδυνος ἐπὶ πραχθεῖσιν ἕπηται.

ἩΣΊΟΔΟΣ.

Ἡ δ' εὐδαιμονίη τί ποτ' ἀνθρώποισι καλεῖται;

ὍΜΗΡΟΣ.

Λυπηθέντ' ἐλάχιστα θανεῖν, ἡσθέντα τε πλεῖστα.

ῥηθέντων δὲ καὶ τούτων, οἱ μὲν Ἕλληνες πάντες τὸν Ὅμηρον ἐκέλευον στεφανοῦν· ὁ δὲ βασιλεὺς Πανοίδης ἐκέλευσεν ἕκαστον τὸ κάλλιστον ἐκ τῶν ἰδίων ποιημάτων εἰπεῖν. Ἡσίοδος οὖν ἔφη πρῶτος,

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
Ἄρχεσθ' ἀμήτου, ἀρότοιό τε, δυσομενάων·
Αἱ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
Κεκρύφαται, αὖθις δὲ περιπλομένου ἐνιαυτοῦ
Φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
Οὗτός τοι πεδίων πέλεται νόμος· οἵ τε θαλάσσης
Ἐγγύθι ναιετάουσι δ' ἄγκεα βησσήεντα
Πόντου κυμαίνοντος ἀπόπροθι πίονα χῶρον
Ναίουσιν. γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν·
Γυμνόν τ' ἀμάειν, ὅταν ὥρια πάντα πέλωνται.

μεθ' ὃν Ὅμηρος,

Ἀμφὶ δ' ἄρ Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
Καρτεραί, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν,
Οὔτε κ' Ἀθηναίη λαοσσόος. οἱ γὰρ ἄριστοι
Κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
Φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ.
Ἀσπὶς δ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
Μακραῖς, ἃς εἶχον ταμεσίχροας. ὄσσε δ' ἄμερδεν

Αὐγὴ χαλκείη, κορύθων ἄπο λαμπομενάων,
Θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν,
Ἐρχομένων ἄμυδις. μάλα κεν θρασυκάρδιος εἴη
Ὃς τότε γηθήσειεν ἰδὼν πόνον, οὐδ᾽ ἀκάχοιτο.

Θαυμάσαντες δὲ καὶ ἐν τούτῳ τὸν Ὅμηρον οἱ Ἕλληνες, ἐπήνουν ὡς παρὰ τὸ προσῆκον γεγονότων τῶν ἐπῶν· καὶ ἐκέλευον διδόναι τὴν νίκην. ὁ δὲ βασιλεὺς τὸν Ἡσίοδον ἐστεφάνωσεν, εἰπὼν, δίκαιον εἶναι τὸν ἐπὶ γεωργίαν καὶ εἰρήνην προκαλούμενον, νικᾶν, οὐ τὸν πολέμους καὶ σφαγὰς διεξιόντα. τῆς μὲν οὖν νίκης οὕτως φασὶ τυχεῖν τὸν Ἡσίοδον· καὶ λαβόντα τρίποδα χαλκοῦν, ἀναθεῖναι ταῖς Μούσαις, ἐπιγράψαντα,

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ᾽ ἀνέθηκεν,
Ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

Τοῦ δὲ ἀγῶνος διαλυθέντος, διέπλευσεν ὁ Ἡσίοδος εἰς Δελφοὺς χρησόμενος, καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθήσων. προσερχομένου δὲ αὐτοῦ τῷ ναῷ, ἔνθεον γενομένην τὴν προφῆτιν φασὶν εἰπεῖν,

Ὄλβιος οὗτος ἀνὴρ ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος, Μούσῃσι τετιμένος ἀθανάτῃσι·
Τοῦ δή τοι κλέος ἔσται ὅσην τ᾽ ἐπικίδναται ἠώς.
Ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιστον ἄλσος·
Κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

ὁ δὲ Ἡσίοδος ἀκούσας τοῦ χρησμοῦ, τῆς Πελοποννήσου μὲν ἀνεχώρει, νομίσας τὴν ἐκεῖ Νεμέαν τὸν θεὸν λέγειν· εἰς δὲ Οἰνόην τῆς Λοκρίδος ἐλ-

θῶν, καταλύσας παρὰ Ἀμφιφάνει καὶ Γανύκτορι
τοῖς Φηγέως παισὶν, ἀγνοήσας τὸ μαντεῖον. ὁ γὰρ τό-
πος οὗτος ἅπας ἐκαλεῖτο Διὸς Νεμείου ἱερόν. δια-
τριβῆς δ' αὐτῷ πλείονος γενομένης ἐν τοῖς Οἰ-
νεῶσιν, ὑπονοήσαντες οἱ νεανίσκοι τὴν ἀδελφὴν
αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον, ἀποκτείναντες,
εἰς τὸ μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πέ-
λαγος κατεπόντισαν. τοῦ δὲ νεκροῦ τριταίου πρὸς
τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος, ἑορτῆς τι-
νὸς ἐπιχωρίου παρ' αὐτοῖς οὔσης Ἀριαδνείας,
πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον· καὶ τὸ σῶμα
γνωρίσαντες, ἐκεῖνο μὲν πενθήσαντες ἔθαψαν,
τοὺς δὲ φονεῖς ἀνεζήτουν. οἱ δὲ, φοβηθέντες τὴν
τῶν πολιτῶν ὀργὴν, κατασπάσαντες ἁλιευτικὸν
σκάφος, διέπλευσαν εἰς Κρήτην. οὓς κατὰ μέσον τὸν
πλοῦν ὁ Ζεὺς κεραυνώσας κατεπόντωσεν, ὥς φη-
σιν Ἀλκιδάμας ἐν Μουσείῳ. Ἐρατοσθένης δέ φη-
σιν ἐν Ενηπόδῳ Κτίμενον καὶ Ἄντιφον τοὺς Γανύ-
κτορος ἐπὶ τῇ προειρημένῃ αἰτίᾳ ἀνελθόντας,
σφαγιασθῆναι θεσμοῖς ξενίοις ὑπὸ Εὐρυκλέους
τοῦ μάντεως. τὴν μέντοι παρθένον τὴν ἀδελφὴν τῶν
προειρημένων, μετὰ τὴν φθορὰν ἑαυτὴν ἀναρτῆ-
σαι· φθαρῆναι δὲ ὑπό τινος ξένου συνόδου τοῦ Ἡσιό-
δου, Δημώδους ὄνομα. ὃν καὶ αὐτὸν ἀναιρεθῆ-
ναι ὑπὸ τῶν αὐτῶν φησίν. ὕστερον δὲ Ὀρχομένιοι κατὰ
χρησμὸν μετενέγκαντες αὐτὸν παρ' αὐτοῖς ἔθα-
ψαν· καὶ ἐπέγραψαν ἐπὶ τῷ τάφῳ,

Ἄσκρη μὲν πατρὶς πολυλήιος· ἀλλὰ θανόντος

Ὀςέα πληξίππων γῆ Μινυὰς κατέχει,
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐςὶν
Ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

καὶ περὶ μὲν Ἡσιόδου τοσαῦτα. ὁ δὲ Ὅμηρος ἀποτυχὼν τῆς νίκης, περιερχόμενος ἔλεγε τὰ ποιήματα. πρῶτον μὲν τὴν Θηβαΐδα, ἔπη ζ, ἧς ἡ ἀρχή,

Ἄργος ἄειδε θεὰ πολυδίψιον, ἔνθεν ἄνακτες.

εἶτα ἐπειγομένου ἔπη ζ, ὧν ἡ ἀρχή,

Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα μοῦσαι.

Φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι. ἀκούσαντες δὲ τῶν ἐπῶν οἱ Μίδου τοῦ βασιλέως παῖδες Ξάνθος καὶ Γόργος, παρακαλοῦσιν αὐτὸν ἐπίγραμμα ποιῆσαι ἐπὶ τοῦ τάφου τοῦ πατρὸς αὐτῶν, ἐφ' οὗ ἦν παρθένος χαλκῆ, τὸν Μίδου θάνατον οἰκτιζομένη. καὶ ποιεῖ οὕτως,

Χαλκῆ παρθένος εἰμὶ, Μίδου δ' ἐπὶ σήματος ἧμαι.
Ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
Καὶ ποταμοὶ πλήθωσι, περικλύζῃ δὲ θάλασσα,
Ἠέλιος δ' ἀνιὼν φαίνῃ, λαμπρά τε σελήνη,
Αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
Σημανέω παριοῦσι, Μίδης ὅτι τῇδε τέθαπται.

λαβὼν δὲ παρ' αὐτῶν φιάλην ἀργυρᾶν, ἀνατίθησιν ἐν Δελφοῖς τῷ Ἀπόλλωνι, ἐπιγράψας,

Φοῖβε ἄναξ δῶρόν τοι Ὅμηρος καλὸν ἔδωκα

ζῆσιν ἐπιφροσύνῃσι· σὺ δέ μοι κλέος αἰὲν ὀπάζοις.

μετὰ δὲ ταῦτα ποιεῖ τὴν Ὀδύσσειαν ἔπη μ βφ. πεποιηκὼς ἤδη τὴν Ἰλιάδα ἐπῶν μ ε. παραγενόμενος δὲ ἐκεῖθεν εἰς Ἀθήνας, αὐτὸν ξενισθῆναί φασι παρὰ Μέδοντι τῷ βασιλεῖ τῶν Ἀθηναίων. ἐν δὲ τῷ βουλευτηρίῳ ψύχεος ὄντος καὶ πυρὸς καιομένου, σχεδιάσαι λέγεται τούσδε τοὺς στίχους,

Ἀνδρὸς μὲν στέφανοι, παῖδες· πύργοι δὲ, πόληος.
Ἵπποι δ' αὖ πεδίου κόσμος· νῆες δὲ, θαλάσσης·
Λαὸς δ' εἰν ἀγορῇσι καθήμενος εἰσοράασθαι.
Αἰθομένου δὲ πυρὸς, γεραρώτερος οἶκος ἰδέσθαι,
Ἤματι χειμερίῳ, ὁπόταν νίφῃσι Κρονίων.

ἐκεῖθεν δὲ παραγενόμενος εἰς Κόρινθον, ἐρραψῴδει τὰ ποιήματα. τιμηθεὶς δὲ μεγάλως παραγίνεται εἰς Ἄργος· καὶ λέγει ἐκ τῆς Ἰλιάδος τὰ ἔπη τάδε,

Οἳ δ' Ἄργος τ' εἶχον, Τίρυνθά τε τειχιόεσσαν,
Ἑρμιόνην τ' Ἀσίνην τε, βαθὺν κατὰ κόλπον ἐχούσας,
Τροιζῆν' ἠϊόνας τε καὶ ἀμπελόεντ' Ἐπίδαυρον·
Νῆσόν τ' Αἴγιναν τε, Μάσητά τε, κοῦροι Ἀχαιῶν.
Τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης,
Τυδείδης, οὗ πατρὸς ἔχων μένος Οἰνείδαο,
Καὶ Σθένελος Καπανῆος ἀγακλειτοῦ φίλος υἱός.
Τοῖσι δ' ἅμ' Εὐρύπυλος τρίτατος κίεν, ἰσόθεος φώς,
Μηκιστέως υἱὸς Ταλαϊονίδαο ἄνακτος.
Ἐκ πάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης.

Τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
Ἐν δ' ἄνδρες πολέμοιο δαήμονες ἐστιχόωντο,
Ἀργεῖοι λινοθώρηκες, κέντρα πολέμοιο. Τῶν δὲ Ἀργείων οἱ προεστηκότες, ὑπερβολῇ χαρέντες ἐπὶ τῷ ἐγκωμιάζεσθαι τὸ γένος αὐτῶν ὑπὸ τοῦ ἐνδοξοτάτου τῶν ποιητῶν, αὐτὸν μὲν πολυτελέσι δωρεαῖς ἐτίμησαν· εἰκόνα δὲ χαλκῆν ἀναστήσαντες, ἐψηφίσαντο θυσίαν ἐπιτελεῖν Ὁμήρῳ καθ' ἡμέραν, καὶ κατὰ μῆνα, καὶ κατ' ἐνιαυτὸν· ἄλλην θυσίαν πενταετηρίδα ἐς Χίον ἀποστέλλειν. ἐπιγράφουσι δὲ ἐπὶ τῆς εἰκόνος αὐτοῦ,

Θεῖος Ὅμηρος ὅδ' ἐστίν, ὃς Ἑλλάδα τὴν μεγαλαύχην
Πᾶσαν ἐκόσμησεν καλλιεπεῖ σοφίῃ·
Ἔξοχα δ' Ἀργείους, οἳ τὴν θεοτειχέα Τροίην
Ἤρειψαν, ποινὴν ἠϋκόμου Ἑλένης.
Οὗ χάριν ἔστησεν δῆμος μεγαλόπολις αὐτὸν
Ἐνθάδε, καὶ τιμαῖς ἀμφέπει ἀθανάτων.

ἐνδιατρίψας δὲ τῇ πόλει χρόνον τινά, διέπλευσεν εἰς Δῆλον εἰς τὴν πανήγυριν. καὶ σταθεὶς ἐπὶ τὸν κεράτινον βωμόν, λέγει ὕμνον εἰς Ἀπόλλωνα· οὗ ἡ ἀρχή,

Μνήσομαι οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο.

ῥηθέντος δὲ τοῦ ὕμνου, οἱ μὲν Ἴωνες πολίτην αὐτὸν κοινὸν ἐποιήσαντο· Δήλιοι δὲ γράψαντες τὰ ἔπη εἰς λεύκωμα, ἀνέθηκαν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ. τῆς δὲ πανηγύρεως λυθείσης, ὁ ποιητὴς εἰς Ἴον ἔπλευσε πρὸς Κρεώφυλον· κἀκεῖ χρόνον διέτριβεν,

τρίβεν, πρεσβύτης ὢν ἤδη. ἐπὶ δὲ τῆς θαλάσσης καθήμενος, παίδων τινῶν ἐφ' ἁλιείας ἐρχομένων, ὥς φασι, πυθόμενος,

Ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες ἦρ' ἔχομέν τι;

εἰπόντων δὲ ἐκείνων,

Ὅσσ' ἕλομεν λιπόμεσθα, ὅσ' οὐχ ἕλομεν φερόμεσθα·

οὐ νοήσας τὸ λεχθὲν, ἤρετο αὐτοὺς ὅ,τι λέγοιεν. οἱ δὲ φασὶν, ἐν ἁλιείᾳ μὲν ἀγρεῦσαι μηδέν· ἐφθειρίσθαι δὲ, καὶ τῶν φθειρῶν οὓς ἔλαβον, καταλιπεῖν· οὓς δὲ οὐκ ἔλαβον, ἐν τοῖς ἱματίοις φέρειν. ἀναμνησθεὶς δὲ τοῦ μαντείου, ὅτι τὸ τέλος αὐτοῦ ἥκοι τοῦ βίου, ποιεῖ τὸ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα. ἀναχωρῶν δὲ ἐκεῖθεν, ὄντος πηλοῦ, ὀλισθὼν καὶ πεσὼν ἐπὶ τὴν πλευρὰν, τριταῖος (ὥς φασι) τελευτᾷ· καὶ ἐτάφη ἐν Ἴῳ. ἔστι δὲ τὸ ἐπίγραμμα τόδε,

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
Ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

ἩΡΟΔΟΤΟΥ ἉΛΙΚΑΡΝΑΣΣΗ͂ΟΣ ἘΞΗΓΗΣΙΣ περὶ τῆς τοῦ Ὁμήρου γενέσιος καὶ βιοτῆς.

ΗΡΟΔΟΤΟΣ ὁ Ἁλικαρνασεὺς περὶ Ὁμήρου γενέσιος καὶ ἡλικίης καὶ βιοτῆς τάδε ἱστόρηκε, ζητήσας ἐπεξελθεῖν εἰς τὸ ἀτρεκέστατον. ἐπεὶ γὰρ πάλαι Αἰολιῶτις Κύμη ἐκτίζετο, συνῆλθον ἐν ταυτῷ παντοδαπὰ ἔθνεα Ἑλληνικὰ, καὶ δὴ καὶ ἐκ Μαγνησίας, ἄλλοι τέ τινες, καὶ Μελάνωπος ὁ Ἰθαγένεος τοῦ Κρήθωνος, οὐ πολύφορτος, ἀλλὰ βραχέα τοῦ βίου ἔχων. οὗτος δὲ ὁ Μελάνωπος ἔγημεν ἐν τῇ Κύμῃ τὴν θυγατέρα Ὁμύρητος· καὶ αὐτῷ γίνεται ἐκ κοίτης θῆλυ τέκνον, ᾧ οὔνομα τίθεται Κρηθηΐς. καὶ αὐτὸς μὲν ὁ Μελάνωπος καὶ ἡ γυνὴ αὐτοῦ ἐτελεύτησαν τὸν βίον· τὴν δὲ θυγατέρα ἐπιτρέπει ἀνδρὶ ᾧ ἐχρῆτο μάλιστα, Κλεάνακτι τῷ Ἀργείῳ. χρόνου δὲ προϊόντος συνέβη τὴν παῖδα μιγεῖσαν ἀνδρὶ λαθραίως, ἐν γαστρὶ σχεῖν. τὰ μὲν οὖν πρῶτα ἐλάνθανεν· ἐπεὶ δὲ ᾔσθετο ὁ Κλεάναξ, ἤχθετο τῇ συμφορῇ, καὶ καλεσάμενος τὴν Κρηθηΐδα χωρὶς πάντων, ἐν αἰτίῃ μεγάλῃ εἶχεν, ἐπιλεγόμενος τὴν αἰσχύνην τὴν

πρὸς τοὺς πολίτας. προβουλεύεται δὲ περὶ αὐτῆς τάδε. ἔτυχον οἱ Κυμαῖοι κτίζοντες τοῦ Ἑρμείου κόλπου τὸν μυχόν· κτιζομένοισι δὲ τὴν πόλιν, Σμύρναν ἔθετο τὸ ὄνομα Θησεὺς, μνημεῖον ἐθέλων καταστῆσαι τῆς ἑωϋτοῦ γυναικὸς ἐπώνυμον. ἦν γὰρ αὐτῇ τοὔνομα Σμύρνη. ὁ δὲ Θησεὺς ἦν τῶν τὴν Κύμην κτισάντων ἐν τοῖς πρώτοις Θεσσαλῶν, ἀπὸ Εὐμήλου τοῦ Ἀδμήτου, κάρτα εὖ ἔχων τοῦ βίου. ἐνταῦθ' ὑπεκτίθεται ὁ Κλεάναξ τὴν Κρηθηΐδα, πρὸς Ἰσμηνίην τὸν Βοιώτιον τῶν ἀποίκων λελογχότα, ὃς ἔτυχεν αὐτῷ ἐὼν ἑταῖρος τὰ μάλιστα. χρόνου δὲ προϊόντος ἐξελθοῦσα ἡ Κρηθηῒς μετ' ἄλλων γυναικῶν πρὸς ἑορτὴν ἵνα ἐπὶ τὸν ποταμὸν καλούμενον Μέλητα, ἤδη ἐπίτοκος οὖσα, τίκτει τὸν Ὅμηρον, οὐ τυφλὸν, ἀλλὰ δεδορκότα· καὶ τίθεται ὄνομα τῷ παιδὶ Μελησιγενέα, ἀπὸ τοῦ ποταμοῦ τὴν ἐπωνυμίαν λαβοῦσα. τέως μὲν οὖν ἡ Κρηθηῒς ἦν παρὰ τῷ Ἰσμηνίᾳ· προϊόντος δὲ τοῦ χρόνου ἐξῆλθε, καὶ ἀπὸ ἐργασίης χειρῶν ὁρμημένη ἔτρεφε τὸ παιδίον καὶ ἑωϋτὴν, ἄλλοτε παρ' ἄλλων ἔργα λαμβάνουσα· καὶ ἐπαίδευσε τὸν παῖδα ἀφ' ὧν ἐδύνατο. ἦν δέ τις ἐν Σμύρνῃ τοῦτον τὸν χρόνον Φήμιος τοὔνομα, παῖδας γράμματα καὶ τὴν ἄλλην μουσικὴν διδάσκων πᾶσαν. οὗτος μισθοῦται τὴν Κρηθηΐδα, ὢν μονότροπος, ἐριουργῆσαι αὐτῷ ἔρια ἵνα, ἃ παρὰ τῶν παίδων εἰς μισθοὺς ἐλάμβανεν. ἡ δὲ παρ' αὐτῷ εἰργάζετο, πολλῷ κοσμίῳ καὶ σωφροσύνῃ πολλῇ χρωμένη καὶ τῷ Φη-

μίῳ κάρτα ἠρέσκετο. τέλος δὲ προσηνέγκατό αὐτῇ λόγους, πείθων ἑωϋτῷ συνοικεῖν· ἄλλα τε πολλὰ λέγων οἷς μιν ᾤετο προσάξεσθαι, καὶ ἔτι περὶ τοῦ παιδὸς, υἱὸν ποιούμενος· καὶ ὅτι τραφεὶς καὶ παιδευθεὶς παρ' αὐτοῦ, ἄξιος λόγου ἔσται· (ἑώρα γὰρ τὸν παῖδα ὄντα συνετὸν καὶ κάρτα εὐφυέα) ἔστ' ἀνέπεισεν αὐτὴν ποιεῖν ταῦτα. ὁ παῖς δὲ ἦν τε φύσιν ἔχων ἀγαθὴν, ἐπιμελίης τε καὶ παιδεύσιος προσγινομένης, αὐτίκα πολλὸν τῶν πάντων ὑπερεῖχε· χρόνου δὲ ἐπιγινομένου ἀνδρούμενος, οὐδὲν τοῦ Φημίου ὑποδεέστερος ἦν ἐν τῇ διδασκαλίᾳ. καὶ οὕτως ὁ Φήμιος ἐτελεύτησε τὸν βίον, καταλιπὼν πάντα τῷ παιδί. οὐ πολλῷ δὲ ὕστερον καὶ ἡ Κρηθηῒς ἐτελεύτησεν. ὁ δὲ Μελησιγένης ἐπὶ τῇ διδασκαλίᾳ καθειστήκει· καθ' ἑωϋτὸν δὲ γινόμενος, μᾶλλον ὑπὸ τῶν ἀνθρώπων ἑωρᾶτο· καὶ αὐτοῦ θωϋμασταὶ καθειστήκεισαν οἵ τε ἐγχώριοι καὶ τῶν ξένων οἱ ἐσαπικνεόμενοι. ἐμπόριον γὰρ ἦν ἡ Σμύρνη, καὶ σῖτος ἐξήγετο πολὺς αὐτόθι ἐκ τῆς ἐπικειμένης χώρας, δαψιλέως κάρτα ἐσαγόμενος ἐς αὐτήν. οἱ οὖν ξένοι, ὁκότε παύσοιντο τῶν ἔργων, ἀπεσχόλαζον παρὰ τῷ Μελησιγένει ἐγκαθίζοντες. ἦν δὲ ἐν αὐτοῖς τότε καὶ Μέντης ναύκληρος, ἀπὸ τῶν περὶ Λευκάδα τόπων καταπεπλευκὼς ἐπὶ σῖτον, ἔχων ναῦν· πεπαιδευμένος τε ἀνὴρ ὡς ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ πολυΐστωρ, ὅς μιν ἔπεισε τὸν Μελησιγένη μεθ' ἑωϋτοῦ πλεῖν, καταλύσαντα τὴν διδασκαλίαν, μισθόν τε λαμβάνοντα, καὶ τὰ δέον-

τὰ πάντα, καὶ ὅτι χώρας καὶ πόλιας θεήσασθαι ἄξιον εἴη αὐτῷ ἕως νέος ἐστί. καὶ μὴν οἴομαι μάλιστα τούτοισι προσαχθῆναι· ἴσως γὰρ καὶ τῇ ποιήσει τότε ἐπενόει ἐπιθήσεσθαι. καταλύσας δὲ τὴν διδασκαλίαν, ἐναυτίλλετο μετὰ τοῦ Μέντεω· καὶ ὅπου ἑκάστοτε ἀφίκοιτο, πάντα τὰ ἐπιχώρια διεωρᾶτο, καὶ ἱστορέων ἐπυνθάνετο. εἰκὸς δέ μιν ἦν καὶ μνημόσυνα πάντων γράφεσθαι. ἀνακομιζόμενοι δὲ ἐκ Τυρσηνίας καὶ τῆς Ἰβηρίης, ἀπικνέονται ἐς Ἰθάκην· καὶ τῷ Μελησιγένει συνέβη, νοσήσαντί τι τοὺς ὀφθαλμοὺς, κάρτα δεινῶς ἔχειν, καὶ αὐτὸν, θεραπείης ἕνεκα πλεῖν μέλλων εἰς τὴν Λευκάδα, καταλιπεῖν ὁ Μέντης παρὰ ἀνδρὶ φίλῳ ἑωυτοῦ ἐς τὰ μάλιστα, Μέντορι τῷ Ἀλκίμου Ἰθακησίῳ, πολλὰ δεηθεὶς ἐπιμελίην ἔχειν· ἐπαναπλώσας δὲ ἀναλήψεσθαι αὐτόν. ὁ δὲ Μέντωρ ἐνοσήλευσεν αὐτὸν ἐκτενέως· καὶ γὰρ τοῦ βίου ἀρκεόντως εἶχε, καὶ ἤκουεν εὖ ἐς δικαιοσύνην τε καὶ φιλοξενίην μακρῷ μάλιστα τῶν ἐν Ἰθάκῃ ἀνδρῶν. ἐνταῦθα συνέβη τῷ Μελησιγένει περὶ Ὀδυσσέως ἐξιστορῆσαι πυθέσθαι. οἱ μὲν δὴ Ἰθακήσιοι λέγουσι τότε μιν παρ' ἑωυτοῖς τυφλωθῆναι· ὡς δὲ ἐγώ φημι, τότε μὲν ὑγιῆ γενέσθαι, ὕστερον δὲ ἐν Κολοφῶνι τυφλωθῆναι. συνομολογοῦσι δέ μοι καὶ Κολοφώνιοι τούτοις. ὁ δὲ Μέντης, ἀναπλέων ἐκ τῆς Λευκάδος, προσέσχεν εἰς τὴν Ἰθάκην, καὶ ἀνέλαβε τὸν Μελησιγένεα· χρόνον τε ἐπὶ συχνὸν συμπεριέπλει αὐτῷ. ἀπικομένῳ δὲ ἐς Κολοφῶνα, συνέβη

BIBLIOTHECA REGIA

πάλιν νοσήσαντα τοὺς ὀφθαλμοὺς, μὴ δύνασθαι διαφυγεῖν τὴν νόσον, ἀλλὰ τυφλωθῆναι ἐνταῦθα. ἐκ δὲ τῆς Κολοφῶνος τυφλὸς ἐὼν ἀπικνέεται εἰς τὴν Σμύρναν, καὶ οὕτως ἐπεχείρει τῇ ποιήσει. χρόνου δὲ προϊόντος ἐν τῇ Σμύρνῃ ἄπορος ἐὼν τοῦ βίου, διενοήθη ἀπικέσθαι ἐς Κύμην· πορευόμενος δὲ διὰ τοῦ Ἕρμου πεδίου, ἀπικνέεται ἐς Νέον τεῖχος, ἀποικίην Κυμαίων· ᾠκίσθη δὲ τοῦτο τὸ χωρίον ὕστερον Κύμης ἔτεσιν ὀκτώ. ἐνταῦθα λέγεται αὐτὸν ἐπιστάντα ἐπὶ σκυτεῖον ἢ, εἰπεῖν πρῶτα τὰ ἔπεα τάδε,

Αἰδεῖσθε ξενίων κεχρημένον ἠδὲ δόμοιο,
Οἳ πόλιν αἰπεινὴν Κύμην ἐριώπιδα κούρην
Ναίετε, Σαρδήνης πόδα νείατον ὑψικόμοιο·
Ἀμβρόσιον πίνοντες ὕδωρ θείου ποταμοῖο
Ἕρμου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς.

ἡ δὲ Σαρδήνη ὄρος ἐστὶν ὑπερκείμενον τοῦ τε Ἕρμου ποταμοῦ καὶ τοῦ Νέου τείχεος. τῷ δὲ σκυτεῖ ὄνομα ἦν Τυχίος. ἀκούσαντι δὲ τῶν ἐπέων ἔδοξεν αὐτῷ δέξασθαι τὸν ἄνθρωπον. ἠλέησε γὰρ ἀλγέοντα τυφλὸν, καὶ μετέξειν ἔφη τῶν παρεόντων. ὁ δὲ ἐσῆλθε· καθήμενος δὲ ἐν τῷ σκυτείῳ, παρεόντων καὶ ἄλλων, τήν τε ποίησιν αὐτοῖς ἐπεδείκνυτο, Ἀμφιάρεώ τε τὴν ἐξελασίαν τὴν ἐς Θήβας, καὶ τοὺς ὕμνους τοὺς ἐς θεοὺς πεποιημένους αὐτῷ· καὶ περὶ τῶν λεγομένων ὑπὸ τῶν παρεόντων ἐς τὸ μέσον γνώμας ἀποφαινόμενος, θωύματος ἄξιος ἐφαίνετο εἶναι τοῖς ἀκούουσι. τέως μὲν οὖν κατεῖχεν

ὁ Μελησιγένης περὶ τὸ Νέον τεῖχος, ἀπὸ τῆς ποιήσιός γε τοῦ βίου τὴν μηχανὴν ἔχων. ἐδείκνυον δὲ οἱ Νεοτειχεῖς μέχρις ἐπ' ἐμοῦ τὸν χῶρον ἐν ᾧ καθίζων τῶν ἐπέων τὴν ἐπίδειξιν ἐποιέετο· καὶ κάρτα ἐσέβοντο τὸν τόπον, ἐν ᾧ καὶ αἴγειρος ἐπεφύκει, ἣν ἐκεῖνοι ἔφασαν, ἀφ' οὗ ὁ Μελησιγένης ἦλθεν, αὐτοῖς πεφυκέναι. χρόνου δὲ προϊόντος, ἀπόρως κείμενος, καὶ μόλις τὴν τροφὴν ἔχων, ἐπενοήθη εἰς τὴν Κύμην ἀπικέσθαι, ὅτι βέλτιον πρήξει· μέλλων δὲ πορεύεσθαι, τάδε τὰ ἔπεα λέγει,

Αἶψα πόδες με φέροιεν ἐς αἰδοίων πόλιν ἀνδρῶν·
Τῶν γὰρ καὶ θυμὸς πρόφρων καὶ μῆτις ἀρίστη.

ἀπὸ δὲ τοῦ Νέου τείχεος πορευόμενος, ἀπίκετο εἰς τὴν Κύμην, διὰ Λαρίσσης τὴν πορείαν ποιησάμενος. ἦν γὰρ οὕτως αὐτῷ εὐπορώτατον. καί, ὡς Κυμαῖοι λέγουσι, τῷ Φρυγίης βασιλῆϊ Μίδῃ τῷ Γορδίεω, δεηθέντων πενθερῶν αὐτοῦ, ποιεῖ καὶ ἐπίγραμμα τόδε, τὸ ἔτι καὶ νῦν ἐπὶ τῆς στήλης τοῦ μνήματος τοῦ Γορδίεω ἐπιγέγραπται, (μαι·

Χαλκῆ παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματι κεῖ-
Ἔστ' ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
Ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
Αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
Ἀγγελέω παριοῦσι Μίδης ὅτι τῇδε τέθαπται.

καθίζων δὲ ἐν ταῖς λέσχαις τῶν γερόντων ἐν τῇ Κύμῃ ὁ Μελησιγένης τὰ ἔπεα τὰ πεποιημένα αὐτῷ ἐπεδείκνυτο, καὶ ἐν τοῖς λόγοις ἔτερπε τοὺς ἀκούοντας· καὶ αὐτοῦ θωϋμασταὶ καθειστήκεισαν.

γνοὺς δὲ ὅτι ἀποδέκονται αὐτοῦ τὴν ποίησιν οἱ Κυμαῖοι, καὶ εἰς συνήθειαν ἕλκων τοὺς ἀκούοντας, λόγους πρὸς αὐτοὺς τοιούσδε προσήνεγκε, λέγων ὡς εἰ θέλοιεν αὐτὸν δημοσίῃ τρέφειν, ἐπικλεεστάτην αὐτοῦ τὴν πόλιν ποιήσει. τοῖς δὲ ἀκούουσι, βουλομένοις τε ἦν ταῦτα, καὶ αὐτὸν παρῄνεον ἐλθόντα ἐπὶ τὴν βουλὴν δεηθῆναι τῶν βουλευτέων· καὶ αὐτοὶ ἔφασαν συμπρήξειν. ὁ δὲ ἐπείθετο αὐτοῖς, καὶ βουλῆς συλλεγομένης ἐλθὼν ἐπὶ τὸ βουλεῖον, ἐδεῖτο τοῦ ἐπὶ τῇ τιμῇ ταύτῃ καθεστῶτος, ἀπαγαγεῖν αὐτὸν ἐπὶ τὴν βουλήν. ὁ δὲ ὑπεδέξατό τε, καὶ ἐπεὶ καιρὸς ἦν, ἀπήγαγε. καταστὰς δὲ ὁ Μελησιγένης ἔλεξε περὶ τῆς τροφῆς τὸν λόγον ὃν καὶ ἐν ταῖς λέσχαις ἔλεγεν· ὡς δὲ εἶπεν, ἐξελθὼν ἐκάθητο. οἱ δὲ ἐβουλεύοντο ὅ,τι χρεὼν εἴη ἀποκρίνασθαι αὐτῷ. προθυμουμένου δὲ τοῦ ἀπάγοντος αὐτόν, καὶ ἄλλων ὅσοι τῶν βουλευτέων ἐν τῇσι λέσχαις ἐπήκοοι ἐγένοντο, τῶν βουλευτέων ἕνα λέγεται ἐναντιωθῆναι τῇ χρήμῃ αὐτοῦ, ἄλλα τε πολλὰ λέγοντα, καὶ ὡς εἰ τοὺς ὁμήρους δόξει τρέφειν αὐτοῖς, ὅμιλον πολλόν τε καὶ ἀχρεῖον ἕξουσιν. ἐντεῦθεν δὲ καὶ τοὔνομα Ὅμηρος ἐπεκράτησε τῷ Μελησιγένει, ἀπὸ τῆς συμφορῆς. οἱ γὰρ Κυμαῖοι τοὺς τυφλοὺς ὁμήρους λέγουσιν· ὥστε πρότερον ὀνομαζομένου αὐτοῦ Μελησιγένεος, τοῦτο γενέσθαι τοὔνομα Ὅμηρος· καὶ οἱ ξένοι διήνεγκαν ὅτε μνήμην αὐτοῦ ἐποιοῦντο. ἐπελεύτα δ' οὖν ὁ λόγος τῷ ἄρχοντι μὴ τρέφειν τὸν Ὅμηρον, ἔδοξε δέ πως τῇ ἄλλῃ

βουλῇ. ἐπελθὼν δὲ ὁ ἐπιστάτης καὶ παρεζόμενος αὐτῷ διηγήσατο τοὺς ἐναντιωθέντας λόγους τῇ χρήμῃ αὐτοῦ, καὶ τὰ δόξαντα τῇ βουλῇ. ὁ δὲ, ὡς ἤκουσεν, ἐσυμφόρησέ τε καὶ λέγει τὰ ἔπεα τάδε,

Οἵῃ μ' αἴσῃ δῶκε πατὴρ Ζεὺς κύρμα γενέσθαι,
Νήπιον αἰδοίης ἐπὶ γούνασι μητρὸς ἀτάλλων,
Ἥν ποτ' ἐπύργωσαν, βουλῇ Διὸς αἰγιόχοιο,
Λαοὶ Φρίκωνος, μάργων ἐπιβήτορες ἵππων·
Ὁπλότεροι μαλεροῖο πυρὸς κρίνοντες Ἄρηα
Αἰολίδα Σμύρνην ἁλιγείτονα πολιαύακτον·
Ἥν τε δι' ἀγλαὸν εἶσιν ὕδωρ ἱεροῖο Μέλητος,
Ἔνθεν ἀπορνύμεναι κοῦραι Διὸς, ἀγλαὰ τέκνα,
Ἠθελέτην κλῆισαι δῖαν χθόνα καὶ πόλιν ἀνδρῶν.
Οἱ δ' ἀπανηνάσθην ἱερὴν ὄπα, φήμην ἀοιδήν.
Ἀφραδίην τῶν μέν τε παθών τις φράσεται αὖθις,
Ὅ σφιν ὀνείδεσιν ἐμὸν διεμήσατο πότμον.
Κῆρα δ' ἐγὼ τὴν μοι θεὸς ὤπασε γινομένῳ περ,
Τλήσομαι ἀκράαντον φέρων τετληότι θυμῷ.
Οὐδέ τι μοι φίλα γυῖα μένειν ἱεραῖς ἐν ἀγυιαῖς
Κύμης ὁρμαίνουσι· μέγας δέ με θυμὸς ἐπείγει
Δῆμον ἐς ἀλλοδαπὸν ἰέναι ὀλίγον περ ἐόντα.

μετὰ τοῦτο ἀπαλλάσεται ἐκ τῆς Κύμης ἐς Φωκαίην· Κυμαίοις ἐπαρησάμενος μηδένα ποιητὴν δόκιμον ἐν τῇ χώρᾳ γενέσθαι ὅστις Κυμαίους ἐπαγλαϊεῖ. ἀπικόμενος δὲ ἐς Φωκαίην, τὸν αὐτὸν τρόπον ἐβιότευσεν, ἔπεα ἐνδεικνύμενος ἐν ταῖς λέσχαις καθίζων. ἐν δὲ τῇ Φωκαίῃ τοῦτον τὸν χρόνον Θεστορίδης τις ἦν γράμματα διδάσκων τοὺς

παῖδας, αὐτὸς οὐ κρήγυος· κατανοήσας δὲ τῶ Ὁμήρου τὴν ποίησιν, λόγους τοιούσδε αὐτῷ προσήνεγκε, φὰς ἕτοιμος εἶναι θεραπεύειν καὶ τρέφειν αὐτὸν ἀναλαβὼν, εἰ ἐθέλοι ἅ γε πεποιημένα εἴη αὐτῷ τῶν ἐπέων ἀναγράψασθαι, καὶ ἄλλα ποιῶν, πρὸς ἑωυτὸν ἀναφέρειν αἰεί. τῷ δὲ Ὁμήρῳ ἀκούσαντι ἔδοξε ποιητέα εἶναι ταῦτα· ἐνδεὴς γὰρ ἦν τῶν ἀναγκαίων καὶ θεραπείης. διατρίβων δὲ παρὰ τῷ Θεστορίδῃ, ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω, ἧς ἡ ἀρχὴ,

Ἴλιον ἀείδω καὶ Δαρδανίην εὔπωλον,
Ἧς πέρι πολλὰ πάθον Δαναοὶ, θεράποντες Ἄρηος.

καὶ τὴν καλουμένην Φωκαΐδα, ἥν φασιν οἱ Φωκαεῖς Ὅμηρον παρ' αὐτοῖσι ποιῆσαι. ἐπεὶ δὲ τήν τε Φωκαΐδα καὶ τἄλλα πάντα παρὰ τῶ Ὁμήρου ὁ Θεστορίδης ἐγράψατο, διενοήθη ἐκ τῆς Φωκαίης ἀπαλλάσσεσθαι, τὴν ποίησιν θέλων τῶ Ὁμήρου ἐξιδιώσασθαι· καὶ οὐκ ἔτι ὁμοίως ἐν ἐπιμελίᾳ εἶχε τὸν Ὅμηρον. ὁ δὲ λέγει αὐτῷ τὰ ἔπεα τάδε,

Θεστορίδης, θνητοῖσιν ἀϊώϊστων πλέων περ,
Οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.

ὁ μὲν δὴ Θεστορίδης ἐκ τῆς Φωκαίης ἀπηλλάγη ἐς τὴν Χίον, καὶ τὴν διδασκαλίην κατεσκευάσατο· καὶ τὰ ἔπεα ἐπιδεικνύμενος ὡς ἑωυτῶ ἐόντα, ἔπαινόν τε πολλὸν εἶχε καὶ ὠφελεῖτο· ὁ δὲ Ὅμηρος πάλιν τὸν αὐτὸν τρόπον διητᾶτο ἐν τῇ Φωκαίῃ, ἀπὸ τῆς ποιήσιος τὴν βιοτὴν ἔχων. χρόνῳ δὲ οὐ πολλῷ μετέπειτα ἄνδρες Χῖοι ἔμποροι ἀπί-

κομίζοντο ἐς τὴν Φώκαιην· ἀκούσαντες δὲ τῶν ἐπέων τοῦ Ὁμήρου ἃ πρότερον ἀκηκόεσαν πολλάκις ἐν τῇ Χίῳ τοῦ Θεστορίδεω, ἐξήγγελλον ὅτι ἐν τῇ Χίῳ τις ἐπιδεικνύμενος τὰ ἔπεα ταῦτα γραμμάτων διδάσκαλος κάρτα πολλὸν ἔχει. ὁ δὲ Ὅμηρος κατενόησεν ὅτι Θεστορίδης ἂν εἴη, καὶ παντὶ θυμῷ ἐσπούδαζεν εἰς τὴν Χίον ἀπικέσθαι. καταβὰς δὲ ἐπὶ τὸν λιμένα, ἐς μὲν τὴν Χίον οὐ καταλαμβάνει οὐδὲν πλοῖον πλέον· ἐς δὲ τὴν Ἐρυθραίαν τινὲς ἐπὶ ξύλου παρεσκευάζοντο πλεῖν. καλῶς δὲ εἶχε τῷ Ὁμήρῳ δι' Ἐρυθραίης τὸν πλοῦν ποιήσασθαι. καὶ προσελθὼν ἐδεῖτο τῶν ναυτέων δέξασθαι αὐτὸν σύμπλουν· πολλά τε προσαγωγὰ λέγων, οἷς σφέας ἔμελλε πείσειν. τοῖς δὲ ἔδοξε δέξασθαι αὐτόν. καὶ ἐκέλευον ἐσβαίνειν εἰς τὸ πλοῖον. ὁ δὲ Ὅμηρος, πολλὰ ἐπαινέσας αὐτούς, ἐσέβη· καὶ ἐπεὶ ἕζετο, λέγει τὰ ἔπεα τάδε·

Κλῦθι Ποσείδαον μεγαλοσθενὲς ἐννοσίγαιε,
Εὐρυχόρου μεδέων ἠδὲ ξανθοῦ Ἑλικῶνος.
Δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἰδέσθαι
Ναύταις, οἳ νηὸς πομποὶ ἠδ' ἀρχοὶ ἔασι.
Δὸς δ' ἐς ὑπώρειαν ὑψικρήμνοιο Μίμαντος
Αἰδοίων μ' ἐλθόντα βροτῶν ὁσίων γε κυρῆσαι.
Φῶτά τε τισαίμην ὃς ἐμὸν νόον ἠπεροπεύσας,
Ὠδύσατο Ζῆνα ξένιον ξενίην τε τραπέζην.

ἐπεὶ δὲ ἀπίκοντο εὐπλοήσαντες ἐς τὴν Ἐρυθραίην, τότε Ὅμηρος τὴν αὐλὴν ἐπὶ τῷ πλοίῳ ἐποιήσατο. τῇ δὲ ὑστεραίῃ ἐδεῖτο τῶν ναυτέων τινὰ

ἡγήσασθαι αὐτῷ ἐς τὴν πόλιν. οἱ δὲ συνέπεμψαν ἕνα αὐτῶν. προϊόμενος δὲ Ὅμηρος ἐπεὶ ἔτυχε τῆς Ἐρυθραίης τρηχείης καὶ ὀρεινῆς ἐούσης, φθέγγεται τάδε ἔπεα,

Πότνια γῆ, πάνδωρε, δότειρα μελίφρονος ὄλβου,
Ὡς ἄρα δὴ τοῖς μὲν φωτῶν εὔοχθος ἐτύχθης,
Τοῖσι δὲ δύσβωλος καὶ τρηχεῖ' οἷς ἐχολώθης.

ἀπικόμενος δὲ ἐς τὴν πόλιν τῶν Ἐρυθραίων ἐπηρώτησε περὶ τοῦ ἐς τὴν Χίον πλοῦ· καί τινος προσελθόντος αὐτῷ τῶν ἑωρακότων ἐν τῇ Φωκαίῃ, καὶ ἀσπασαμένου, ἐχρῆζεν αὐτοῦ συνεξευρεῖν αὐτῷ πλοῖον ὅπως ἂν ἐς τὴν Χίον διαβαίη. ἐκ μὲν δὴ τοῦ λιμένος οὐδὲν ἦν ἀπόστολον, ἄγει δὲ αὐτὸν ἔνθα τῶν ἁλιέων τὰ πλοῖα ὁρμίζεται· καί πως ἐντυγχάνει μέλλουσί τισι διαπλεῖν ἐς τὴν Χίον· ὧν ἐδέετο προσελθὼν ὁ ἄγων αὐτὸν ἀναλαβεῖν τὸν Ὅμηρον. οἱ δὲ, οὐδένα λόγον ποιησάμενοι, ἀνήγοντο. ὁ δὲ Ὅμηρος φθέγγεται τάδε ἔπεα,

Ναῦται ποντοπόροι, στυγερῇ ἐναλίγκιοι ἄτῃ,
Πτωχάσιν αἰθυίῃσι βίον δύσζηλον ἔχοντες,
Αἰδεῖσθε ξενίοιο Διὸς σέβας ὑψιμέδοντος.
Δεινὴ γὰρ μέτοπις ξενίου Διὸς, ὅς κ' ἀλίτηται.

ἀναχθεῖσι δὲ αὐτοῖς συνέβη ἐναντίου ἀνέμου γενομένου παλινδρομῆσαι, καὶ ἐς τὸ χωρίον ἀναδραμεῖν ὅθεν ἀνήγοντο. καὶ τὸν Ὅμηρον ἀναλαβεῖν καθήμενον ἐπὶ τῆς κυματωγῆς. μαθὼν δὲ αὐτοὺς πεπαλινδρομηκότας, ἔλεξε τάδε, Ὑμᾶς ὦ ξένοι ἔλαβεν ὁ ἄνεμος αἴτιος γενόμενος· ἀλλ' ἔτι

καὶ νῦν με δέξασθε, καὶ ὁ πλοῦς ὑμῖν ἔσται. οἱ δὲ ἁλιεῖς ἐν μεταμελίῃ γενόμενοι ὅτι οὐ πρότερον ἐδέξαντο, εἰπόντες ὅτι οὐ καταλιμπάνουσιν ἢν ἐθέλοι συμπλεῖν, ἐκέλευον ἐσβαίνειν. καὶ οὕτως ἀναλαβόντες αὐτὸν ἀνήχθησαν, καὶ ἴσχουσιν ἐπ' ἀκτῆς. οἱ μὲν δὴ ἁλιεῖς πρὸς ἔργον ἐτράπησαν· ὁ δὲ Ὅμηρος τὴν νύκτα ἐπὶ τοῦ αἰγιαλοῦ κατέμεινε, τὴν δὲ ἡμέραν προϊόμενος, καὶ πλανώμενος, ἀπίκετο εἰς τὸ χωρίον ὃ Πίτυς καλεῖται. κἀνταῦθα αὐτῷ ἀναπαυομένῳ τὴν νύκτα, ἐπιπίπτει καρπὸς τῆς πίτυος, ὃν δὴ μετεξέτεροι στρόβιλον, οἱ δὲ κῶνον καλέουσιν. ὁ δὲ Ὅμηρος φθέγγεται τὰ ἔπη τάδε,

Ἄλλη τίς σου πεύκη ἀμείνονα καρπὸν ἵησιν
Ἴδης ἐν κορυφῇσι πολυπτύχου ἠνεμοέσσης,
Ἔνθα σίδηρος Ἄρηος ἐπιχθονίοισι βροτοῖσιν
Ἔσσεται, εὖτ' ἄν μιν Κεβρήνιοι ἄνδρες ἔχωσι.

τὰ δὲ Κεβρήνια τοῦτον τὸν χρόνον κτίζειν οἱ Κυμαῖοι παρεσκευάζοντο πρὸς τῇ Ἴδῃ, καὶ γίνεται αὐτόθι σίδηρος. ἐντεῦθεν ἀναστὰς Ὅμηρος ἐπορεύετο κατὰ φωνὴν τινα αἰγῶν νεμομένων. ὡς δὲ ὑλάκτεον αὐτὸν οἱ κύνες, ἀνέκραγεν· ὁ δὲ Γλαῦκος ὡς ἤκουσε τῆς φωνῆς (τοῦτο γὰρ τὸ ὄνομα τῷ νέμοντι τὰς αἶγας) ἀπέδραμεν ὀξέως, τάς τε κύνας ἀνεκαλεῖτο, καὶ ἀπεσόβησεν ἀπὸ τοῦ Ὁμήρου. ἐπὶ πολὺν δὲ χρόνον ἐν θαύματι ἦν, ὅκως τυφλὸς ὤν, μόνος ἀπίκοιτο ἐς τοιούτους χώρους, καὶ ὅ,τι θέλων. προσελθὼν τέ μιν ἱστόρεεν ὅστις τε ἦν, καὶ τίνι τρόπῳ ἀπίκοιτο ἐς τόπους ἀοικήτους καὶ ἀστιβέα χωρία, καὶ τινος κεχρη-

μένος εἴη. ὁ δὲ Ὅμηρος αὐτῷ πᾶσαν τὴν ἑωυτοῦ πάθην καταλεγόμενος, εἰς οἶκον προσηγάγετο· ἦν γὰρ, ὡς ἔοικεν, οὐδ᾽ ἀγνώμων ὁ Γλαῦκος. ἀναλαβὼν δὲ αὐτὸν ἀνήγαγεν ἐπὶ τὸν σταθμόν. πῦρ δὲ ἀνακαύσας, δεῖπνον παρεσκεύαζε, καὶ παραθεὶς δειπνεῖν ἐκέλευεν ὁ Γλαῦκος. τῶν δὲ κυνῶν μὴ ἐσθιόντων, καὶ ὑλακτούντων δειπνοῦντα, καθάπερ εἰώθεσαν, λέγει πρὸς τὸν Γλαῦκον Ὅμηρος τὰ ἔπεα τάδε,

Γλαῦκε πέπων ἐπιὼν τὸ ἔπος τὸ ἐνὶ φρεσὶ θήσω,
Πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ᾽ αὐλείῃσι θύρῃσι
Δοῦναι. ὣς γὰρ ἄμεινον· ὁ γὰρ καὶ πρῶτον ἀκούει
Ἀνδρὸς ἐπερχομένου, καὶ ἐς ἕρκεα θηρὸς ἰόντος.

Ταῦτα ἀκούσας ὁ Γλαῦκος, ἥσθη τῇ παραινέσει, καὶ ἐν θωύματι εἶχεν αὐτόν. δειπνήσαντες δὲ, διὰ λόγων εἱστιῶντο. ἀπηγεομένου δὲ Ὁμήρου τήν τε πλάνην τὴν ἑωυτοῦ καὶ τὰς πόλεις ἃς ἐσαπίκοιτο, ἔκπληκτος ἦν ὁ Γλαῦκος ἀκούων. καὶ τότε μὲν, ἐπεὶ ὥρη κοίτου ἦν, ἀνεπαύετο· τῇ δ᾽ ὑστεραίῃ διενοήθη ὁ Γλαῦκος πρὸς τὸν δεσπότην πορευθῆναι, σημανέων τὰ περὶ Ὁμήρου. ἐπιτρέψας δὲ τῷ συνδούλῳ νέμειν τὰς αἶγας, τὸν Ὅμηρον καταλείπει ἔνδον, εἰπὼν πρὸς αὐτὸν, ὅτι διὰ ταχέων προσέσομαι. καταβὰς δὲ ἐς Βολισσὸν, (ἔστι δὲ πλησίον τοῦ χωρίου τούτου) καὶ συμμιγνύμενος τῷ δεσπότῃ, ἀπηγέετο περὶ Ὁμήρου πᾶσαν τὴν ἀλήθειαν, περί τε αὐτοῦ τῆς ἀφίξιος, ἐν θωύματι ποιεύμενος· ἠρώτεέ τε ὅ,τι χρὴ ποιέειν περὶ αὐτοῦ. ὁ δὲ

ὀλίγα μὲν περιείετο τῶν λόγων, κατεγίνωσκε δὲ τοῦ Γλαύκου ὡς ἄφρονος ἐόντος, καὶ τοὺς ἀναπήρους δεχομένου καὶ τρέφοντος· ἐκέλευσε δὲ ὅμως τὸν ξεῖνον ἄγειν πρὸς ἑαυτόν. ἐλθὼν δὲ πρὸς τὸν Ὅμηρον διηγήσατο ταῦτα ὁ Γλαῦκος, καὶ ἐκέλευσε πορεύεσθαι τοῦτον· οὕτω γὰρ εὖ πρήξειν. ὁ δὲ Ὅμηρος ἤθελε πορεύεσθαι· ἀναλαβὼν οὖν αὐτὸν ὁ Γλαῦκος ἤγαγε πρὸς τὸν δεσπότην. διὰ λόγων δὲ ἰὼν τῷ Ὁμήρῳ ὁ Χῖος εὑρίσκει ἐόντα δεξιὸν καὶ πολλῶν ἔμπειρον· ἔπειθέ τε αὐτὸν μένειν, καὶ τῶν παιδίων ἐπιμέλειαν ποιεῖσθαι· ἦσαν γὰρ τῷ Χίῳ παῖδες ἐν ἡλικίῃ. τούτους οὖν αὐτῷ παρατίθησι παιδεύειν. ὁ δὲ ἐποίησε ταῦτα· καὶ τοὺς Κέρκωπας, καὶ Βατραχομυομαχίαν, καὶ ἐπικιχλίδας, καὶ τἆλλα πάντα ὅσα παίγνιά ἐστιν Ὁμήρου, ἐνταῦθα ἐποίησε παρὰ τῷ Χίῳ ἐν Βολισσῷ. ὥστε καὶ ἐν τῇ πόλει περιβόητος ἤδη ἐγένετο ἐν τῇ ποιήσει. καὶ ὁ μὲν Θεστορίδης, ὡς τάχιστα ἐπύθετο αὐτὸν παρεόντα, ὤχετο ἐκπλέων ἐκ τῆς Χίου. χρόνου δὲ προϊόντος, δεηθεὶς τοῦ Χίου πρεῦσαι αὐτὸν εἰς τὴν Χίον, ἀπίκετο εἰς τὴν πόλιν· καὶ διδασκαλεῖον κατασκευασάμενος, ἐδίδασκε παῖδας τὰ ἔπεα. καὶ κάρτα δεξιὸς ἐδόκεεν εἶναι τοῖς Χίοις, καὶ πολλοὶ θωϋμασταὶ αὐτῷ καθεστήκεσαν. συλλεξάμενος δὲ βίον ἱκανὸν, γυναῖκα ἔγημεν, ἐξ ἧς αὐτῷ θυγατέρες δύο ἐγένοντο· καὶ ἡ μὲν αὐτῶν, ἄγαμος ἐτελεύτησε, τὴν δὲ συνῴκισεν ἀνδρὶ Χίῳ. ἐπιχειρήσας δὲ τῇ ποιήσει, ἀπέδωκε χάριν ἣν εἶχε,

πρῶτον μὲν Μέντορι τῷ Ἰθακησίῳ ἐν τῇ ὀδυσσείᾳ, ὅτι μιν κάμνοντα τοὺς ὀφθαλμοὺς ἐν Ἰθάκῃ ἐνοσήλευσεν ἐκπενέως· τοὔνομα αὐτοῦ ἐναρμόσας ἐς τὴν ποίησιν, Ὀδυσσέως τε ἑταῖρον φὰς εἶναι· ποιήσας Ὀδυσσέα, ὡς ἐς Τροίην ἔπλεε, Μέντορι ἐπιτρέψαι τὸν οἶκον, ἐόντι Ἰθακησίων ἀρίστῳ καὶ δικαιοτάτῳ. πολλαχῇ δὲ καὶ ἄλλῃ τῆς ποιήσεως τιμῶν αὐτὸν, τὴν Ἀθηνᾶν, ὁπότε ἐς λόγον τινὶ καθίσταται, τῷ Μέντορι εἰκέλην ποιεῖ. ἀπέδωκε δὲ καὶ Φημίῳ τῷ ἑαυτοῦ διδασκάλῳ τροφεῖα καὶ διδασκαλεῖα ἐν τῇ ὀδυσσείᾳ, μάλιστα ἐν τοῖσδε τοῖς ἔπεσι,

Κῆρυξ δ' ἐν χερσὶν κίθαριν περικαλλέ' ἔθηκε
Φημίῳ, ὅστε πολλὸν ἐκαίνυτο πάντας ἀείδων.

καὶ πάλιν,

Αὐτὰρ ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.

μέμνηται δὲ καὶ τοῦ ναυκλήρου, μεθ' οὗ ἐκπεριέπλευσεν, καὶ εἶδε πόλιάς τε πολλὰς καὶ χώρας (ᾧ ὄνομα ἦν Μέντης) ἐν τοῖς ἔπεσι τοῖσδε,

Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
Υἱὸς, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.

ἀπέδωκε δὲ χάριν καὶ Τυχίῳ τῷ σκυτεῖ, ὃς ἐδέξατο αὐτὸν ἐν τῷ Νέῳ τείχει, προσελθόντα πρὸς τὸ σκυτεῖον, ἐν τοῖς ἔπεσι καταζεύξας ἐν τῇ ἰλιάδι τοῖσδε,

Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος ἠΰτε πύργον,
Χάλκεον, ἑπταβόειον· ὅ οἱ Τύχιος κάμε τεύχων,
Σκυτοτόμων ὄχ' ἄριστος, ὕλῃ ἔνι οἰκία ναίων.

ἀπὸ δὲ τῆς ποιήσεως ταύτης εὐδοκιμεῖ Ὅμη-
ρος;

ερος περί τε τὴν Ἰωνίαν καὶ ἐς τὴν Ἑλλάδα ἤδη περὶ αὐτοῦ λόγος ἀναφέρεται· καὶ οἰκέων δὲ ἐν τῇ Χίῳ, καὶ εὐδοκιμέων περὶ τὴν ποίησιν, ἀπικεομένων πολλῶν, συνεβούλευον οἱ ἐντυγχάνοντες αὐτῷ ἐς τὴν Ἑλλάδα ἀπικέσθαι. ὁ δὲ προσεδέξατο τὸν λόγον, καὶ κάρτα ἐπεθύμει ἀποδημῆσαι. κατανοήσας δὲ ὅτι ἐς μὲν Ἄργος πολλαὶ καὶ μεγάλαι εἶεν εὐλογίαι πεποιημέναι, ἐς δὲ τὰς Ἀθήνας οὔ· ἐμποιεῖ ἐς τὴν ποίησιν, ἐς μὲν Ἰλιάδα τὴν μεγάλην, Ἐρεχθέα μεγαλύνων ἐν νεῶν καταλόγῳ, τὰ ἔπεα τάδε,

Δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη
Θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα.

καὶ τὸν στρατηγὸν αὐτῶν Μενεσθέα, ὡς πάντων εἴη ἄριστος τάξαι πεζὸν στρατὸν καὶ ἱππότας, ἐν τοῖσδε τοῖς ἔπεσιν εἶπε,

Τῶν αὖθ' ἡγεμόνευεν υἱὸς Πετεῶο Μενεσθεύς·
Τῷ δ' οὔπω τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ
Κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.

Αἴαντα δὲ τὸν Τελαμῶνος καὶ Σαλαμινίους ἐν νεῶν καταλόγῳ ἔταξε πρὸς Ἀθηναίους, λέγων τάδε,

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
Στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

ἐς δὲ τὴν Ὀδυσσείην τάδε ἐποίησεν, ὡς Ἀθηνᾶ ἐς λόγους ἐλθοῦσα τῷ Ὀδυσσεῖ ἐς τὴν Ἀθηναίων πόλιν ἀπίκετο, τιμῶσα ταύτην τῶν ἄλλων πολλῷ μάλιστα.

Ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυχόρους ἐς Ἀθήνας·

Δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον.

ἐμποιήσας δὲ ἐς τὴν ποίησιν ταῦτα, καὶ παρασκευασάμενος, ἐς Ἑλλάδα βουλόμενος ποιεῖσθαι τὸν πλοῦν, προσίσχει τῇ Σάμῳ. ἔτυχον δὲ οἱ ἐκεῖσε τὸν τότε καιρὸν ἄγοντες ἑορτὴν ἀπατούρια· καί τις τῶν Σαμίων ἰδὼν τὸν Ὅμηρον ἀπιγμένον, πρότερον αὐτὸν ἐπιστάμενος ἐν Χίῳ, ἐλθὼν ἐς τοὺς φράτορας διηγήσατο, ἐν ἐπαίνῳ μεγάλῳ ποιεύμενος αὐτόν. οἱ δὲ φράτορες ἐκέλευον ἄγειν αὐτόν. ὁ δὲ, ἐντυχὼν τῷ Ὁμήρῳ, ἔλεξεν, Ὦ ξένε, ἀπατούρια ἀγούσης τῆς πόλιος, καλοῦσί σε οἱ φράτορες οἱ ἡμέτεροι συνεορτάσοντα. ὁ δὲ Ὅμηρος ἔφη ταῦτα ποιήσειν, καὶ ἤιει μετὰ τοῦ καλέσαντος. προϊόμενος δὲ ἐγχρίμπτεται γυναιξὶ κουροτρόφῳ θυούσαις ἐν τῇ τριόδῳ. ἡ δὲ ἱέρεια εἶπε πρὸς αὐτὸν, δυσχεράνασα τῇ ὄψει, ἄνερ ἄπο τῶν ἱερῶν. ὁ δὲ Ὅμηρος ἐς θυμόν τε ἔβαλε τὸ ῥηθὲν, καὶ ἤρετο τὸν ἄγοντα τίς τε εἴη ὁ φθεγξάμενος, καὶ τίνι θεῶν ἱερὰ θύεται. ὁ δὲ αὐτῷ διηγήσατο ὅτι γυνὴ εἴη κουροτρόφῳ θύουσα. ὁ δὲ, ἀκούσας λέγει τάδε τὰ ἔπεα,

Κλῦθί μοι εὐχομένῳ κουροτρόφε, δὸς δὲ γυναῖκα
Τήνδε νέων μὲν ἀνήνασθαι φιλότητα καὶ εὐνὴν,
Ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
Ὧν ὥρη μὲν ἀπαμβλύνεται, θυμὸς δὲ μενοινᾷ.

ἐπεὶ δὲ ἦλθεν εἰς τὴν φρήτρην, καὶ τοῦ οἴκου ἔνθα δὴ ἐδαίνυντο, ἐπὶ τὸν οὐδὸν ἔστη, οἱ μὲν λέγουσι, καιομένου πυρὸς ἐν τῷ οἴκῳ, οἱ δέ φασι τότε ἐκκαῦσαι σφᾶς, ἐπειδὴ Ὅμηρος τὰ ἔπεα εἶπεν,

Ἀνδρὸς μὲν στέφανος, παῖδες πύργοι δὲ, πόληος·
Ἵπποι δ' ἐν πεδίῳ κόσμος νῆες δὲ, θαλάσσης·
Χρήματα δ' αὔξει οἶκον· ἀτὰρ γεραροὶ βασιλῆες
Ἥμενοι εἰν ἀγορῇ, κόσμος τ' ἄλλοισιν ὁρᾶσθαι·
Αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι.

εἰσελθὼν δὲ, κατακλιθεὶς ἐδαίνυτο μετὰ τῶν Φρατόρων· καὶ αὐτὸν ἐτίμων, καὶ ἐν θωύματι εἶχον. καὶ τότε μὲν τὴν κοίτην αὐτοῦ ἐποιήσατο Ὅμηρος· τῇ δὲ εἰσαύριον ἀποπορευόμενον ἰδόντες κεραμέες τινὲς, κάμινον ἐγκαίοντες κεράμου λεπτοῦ, προσεκαλέσαντο αὐτὸν, πεπυσμένοι ὅτι σοφὸς εἴη· καὶ ἐκέλευον σφὶν ἀεῖσαι; φάμενοι δώσειν αὐτῷ τοῦ κεράμου, καὶ ὅ,τι ἂν ἄλλο ἔχωσιν. ὁ δὲ Ὅμηρος ἀείδει αὐτοῖς τὰ ἔπεα τάδε, ἃ καλεῖται κάμινος,

Εἰ μὲν δώσετε μισθὸν, ἀείσω ὦ κεραμῆες·
Δεῦρ' ἄγ' Ἀθηναίη, καὶ ὑπείρεχε χεῖρα καμίνου·
Εὖ δὲ μελανθεῖεν κότυλοι, καὶ πάντα μάλ' ἱερὰ
Φρυχθῆναί τε καλῶς καὶ τιμῆς ὦνον ἀρέσθαι, (αῖς,
Πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα, πολλὰ δ' ἀγυ-
Πολλὰ δὲ κερδῆναι· ἡμῖν δὲ δὴ ὡς σφι νοῆσαι.
Ἢν δ' ἐπ' ἀναιδείην τρεφθέντες ψεύδη ἄρησθε,
Συγκαλέω δ' ἤπειτα καμίνῳ δηλητῆρας, (Σάκτον
Σύντριβ' ὁμαδς Μάραγόν τε καὶ Ἄσβετον, ἠδὲ γ' Ἀ-
Ὠμόδαμόν θ', ὃς τῇδε τέχνῃ κακὰ πολλὰ πορίζει.
Πεῖθε πυραίθουσαν καὶ δώματα, σὺν δὲ κάμινος
Πᾶσα κυκηθείη, κεραμέων μέγα κωκυσάντων.
Ὡς γνάθος ἵππου βρύκει, βρύκοι δὲ κάμινος,

Πάντ' ἔντοσθ' αὐτῆς κεραμήια λεπτὰ ποιοῦσα.
Δεῦρο καὶ ἠελίου θυγάτηρ πολυφάρμακε Κίρκη·
Ἄγρια φάρμακα βάλλε, κάκου δ' αὐτούς τε καὶ
ἔργα.
Δεῦρο δὲ καὶ Χείρων ἀγέτω πολέας Κενταύρους,
Οἵ θ' Ἡρακλείους χεῖρας φύγον, οἵ τ' ἀπόλοντο·
Τύπτοιεν τάδε ἔργα κακῶς, τύπτοι δὲ κάμινον.
Αὐτοὶ δ' οἰμώζοντες ὁρῴατο ἔργα πονηρά.
Γηθήσω δ' ὁρόων αὐτῶν κακοδαίμονα τέχνην.
Ὃς δέ χ' ὑπερκύψει περὶ ταῦτα, πᾶν τὸ πρόσωπον
Φλεχθείη ὡς πάντες ἐπίσωντ' αἴσιμα ῥέζειν.

Παραχειμάζων δὲ ἐν τῇ Σάμῳ, ταῖς νουμηνίαις προσπορευόμενος πρὸς τὰς οἰκίας τὰς εὐδαιμονεστάτας, ἐλάμβανέ τι, ἀείδων τὰ ἔπεα τάδε ἃ καλεῖται εἰρεσιώνη, (ὡδήγουν δὲ αὐτὸν καὶ συμπαρῆσαν ἀεὶ τῶν παίδων τινὲς τῶν ἐγχωρίων)

Δῶμα προσετραπόμεσθ' ἀνδρὸς μέγα δυναμένοιο,
Ὃς μέγα μὲν δύναται, μέγα δὲ βρέμει ὄλβιος αἰεί.
Αὐτὰρ ἀνακλίνεσθε θύραι· πλοῦτος γὰρ ἔσεισι
Πολλὸς, σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη τεθαλυῖα,
Εἰρήνη τ' ἀγαθή. ὅσα δ' ἄγγεα, μεστὰ μὲν εἴη,
Κυρβαίη δ' αἰεὶ κατὰ καρδόπου ἕρποι μᾶζα.
Τοῦ παιδὸς δὲ γυνὴ κατὰ διφράδα βήσεται ὔμμιν.
Ἡμίονοι δ' ἄξουσι κραταίποδες ἐς τόδε δῶμα.
Αὐτὴ δ' ὑφαίνοι ἱστὸν ἐπ' ἠλέκτρῳ βεβαῶσα.
Νεῦμαί τοι νεῦμαι ἐνιαύσιος, ὥστε χελιδών.
Ἕστηκ' ἐν προθύροισι καὶ εἰ μέν τι δώσεις, εἰ δὲ μή,

Οὐχ ἑστήξομεν. οὐ γὰρ συνοικήσοντες ἐνθάδ' ἤλθομεν.

Ἤιδετο δὲ τάδε ἐν τῇ Σάμῳ ἐπὶ πολὺν χρόνον ὑπὸ τῶν παίδων, ὅτε ἀγείροιεν ἐν τῇ ἑορτῇ τοῦ Ἀπόλλωνος. ἐρχομένου δὲ τοῦ ἔαρος, ἐπεχείρησε πλεῖν Ὅμηρος εἰς τὰς Ἀθήνας ἐκ τῆς Σάμου· καὶ ἀναχθεὶς μετά τινων ἐγχωρίων, ἀπηνέχθη εἰς τὴν Ἴον· καὶ ὡρμίσθησαν οὐ κατὰ πόλιν, ἀλλ' ἐπ' ἀκτῆς. συνέβη δὲ τῷ Ὁμήρῳ κατὰ πολύ τι δέξασθαι μαλακῶς ἔχειν· ἐκβὰς δὲ ἐκ τοῦ πλοίου, ἐκοιμᾶτο ἐπὶ τῆς κυματωγῆς ἀδυνάτως ἔχων. πλείους δὲ ἡμέρας ὁρμούντων αὐτῶν δι' ἀπλοΐην, καταβαίνοντες αἰεί τινες τῶν ἐκ τῆς πόλιος, ἀπεσχόλαζον παρὰ τῷ Ὁμήρῳ, καὶ ἐν θωύματι εἶχον αὐτὸν, ἀκούοντες αὐτοῦ. τῶν δὲ ναυτέων, καὶ τῶν ἐκ τῆς πόλιος τινῶν ἡμένων παρὰ τῷ Ὁμήρῳ, κατέπλωσαν παῖδες ἁλιῆες τὸν τόπον, καὶ ἐκβάντες ἐκ τοῦ ἀκατίου, προσελθόντες αὐτοῖς τάδε εἶπον, Ἄγετε ὦ ξένοι, ἐπακούσατε ἡμέων, αἲ ἄρα δύνησθε διαγνῶναι ἅσσ' ἂν ὑμῖν εἴπωμεν. καί τις τῶν παρεόντων ἐκέλευε λέγειν. οἱ δὲ εἶπαν, Ἡμεῖς ἅσσα εἵλομεν, κατελίπομεν· ἃ δὲ μὴ εἵλομεν, φερόμεθα. οἱ δέ φασιν μέτρῳ εἰπεῖν αὐτοὺς, Ἅσσ' ἕλομεν, λιπόμεσθα· ἃ δ' οὐχ ἕλομεν, φερόμεσθα. οὐ δυναμένων δὲ τῶν παρεόντων γνῶναι τὰ ῥηθέντα, διηγήσαντο οἱ παῖδες ὅτι ἁλιεύοντες, οὐδὲν ἐδύναντο ἑλεῖν, καθήμενοι δὲ ἐν γῇ, ἐφθειρίζοντο· καὶ ὅσους μὲν ἔλαβον τῶν φθειρῶν, κατέλιπον· ὅσους δὲ μὴ ἐδύναντο, ἐς οἴκους ἀπεφέροντο. ὁ δὲ Ὅμηρος, ἀκού

σας ταῦτα, ἔλεξε τὰ ἔπεα τάδε,

Τοίων γὰρ πατέρων ἐξ αἵματος ἐκγεγάατε,
Οὔτε βαθυκλήρων, οὔτ᾽ ἄσπετα μῆλα νεμόντων.

ἐκ δὲ τῆς ἀσθενείας ταύτης συνέβη τὸν Ὅμηρον τελευτῆσαι ἐν Ἴῳ, οὐ παρὰ τὸ μὴ γνῶναι τὸ παρὰ τῶν παίδων ῥηθὲν (ὡς οἴονταί τινες) ἀλλὰ τῇ μαλακίῃ. τελευτήσας δὲ ἐν τῇ Ἴῳ, αὐτοῦ ἐπ᾽ ἀκτῆς ἐτάφη ὑπό τε τῶν συμπλεόντων, καὶ τῶν πολιτέων ὅσοι ἐν διαλογῇ ἐγένοντο αὐτῷ. καὶ τὸ ἐλεγεῖον τόδε ἐπέγραψαν Ἰῆται ὕστερον χρόνῳ πολλῷ, ὡς ἤδη ἥ τε ποίησις ἐξεπεπτώκεε, καὶ ἐθαυμάζετο ὑπὸ πάντων· οὐδὲ Ὁμήρου ἐστίν.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
Ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

ὅτι δὲ ἦν Αἰολεὺς Ὅμηρος, καὶ οὔτε Ἴων, οὔτε Δωριεὺς, τοῖς τε εἰρημένοις δεδήλωταί μοι, καὶ δὴ καὶ τοῖσδε τεκμαίρεσθαι παρέχει· ἄνδρα ποιητὴν τηλικοῦτον εἰκός ἐστι τῶν νομίμων τῶν παρὰ τοῖς ἀνθρώποις, ποιοῦντα ἐς τὴν ποίησιν, ἤτοι τὰ κάλλιστα ἐξευρόντα ποιέειν, ἢ τὰ ἑωϋτοῦ, πάτρια ἐόντα. ἤδη τοίνυν τὸ ἐνθένδε αὐτοὶ τῶν ἐπέων ἀκούοντες κρινεῖτε. ἱεροποιΐην γὰρ ἢ τὴν κρατίστην ἐξευρὼν ἐποίησεν, ἢ τὴν ἑωϋτοῦ πατρίδι προσήκουσαν. λέγει γὰρ ὧδε,

Αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
Μηρούς τ᾽ ἐξέταμον, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν.

ἐν τούτοις περὶ ὀσφύος οὐδὲν εἴρηται, ἣ ἐς τὰ

ἱερὰ χρέονται. μονώτατον γὰρ τῶν Ἑλλήνων τὸ Αἰολικὸν ἔθνος οὐ καίει ὀσφύν. δηλοῖ δὲ καὶ ἐν τοῖσδε τοῖς ἔπεσιν ὅτι Αἰολεὺς ὤν, τοῖς νόμοις τοῖς τούτων ἐχρῆτο,

Καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
Λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.

Αἰολέες γὰρ μόνοι τὰ σπλάγχνα ἐπὶ πέντε ὀβελῶν ὀπτῶσιν, οἱ δὲ ἄλλοι Ἕλληνες ἐπὶ τριῶν. καὶ γὰρ ὀνομάζουσιν οἱ Αἰολεῖς τὰ πέντε, πέμπε. τὰ μὲν οὖν περὶ τῆς γενέσιος καὶ τελευτῆς καὶ βίου δεδήλωταί μοι. ΠΕΡΙ δὲ ἡλικίης τῆς Ὁμήρου, ἐκ τῶνδ' ἄν τις ἐπισκεπτόμενος, ἀκριβῶς καὶ ὀρθῶς λογίζοιτο. ἀπὸ γὰρ τῆς εἰς Ἴλιον στρατείας, ἣν Ἀγαμέμνων καὶ Μενέλαος ἤγειραν, ἔτεσιν ὕστερον ἑκατὸν καὶ τριάκοντα, Λέσβος ᾠκίσθη κατὰ πόλεις, πρότερον ἐοῦσα ἄπολις. μετὰ δὲ Λέσβον οἰκισθεῖσαν ἔτεσιν ὕστερον εἴκοσι, Κύμη ἡ Αἰολιῶτις καὶ Φρικωνὶς καλεομένη ᾠκίσθη. μετὰ δὲ Κύμην, ὀκτωκαίδεκα ἔτεσιν ὕστερον Σμύρνα ὑπὸ Κυμαίων κατῳκίσθη· καὶ ἐν τούτῳ γίνεται Ὅμηρος. ἀφ' οὗ δὲ Ὅμηρος ἐγένετο, ἔτεά ἐστιν ἑξακόσια εἰκοσιδύο μέχρι τῆς Ξέρξεω διαβάσεως· ὃν στρατευσάμενος ἐπὶ τοὺς Ἕλληνας, καὶ ζεύξας τὸν Ἑλλήσποντον, διέβη ἐκ τῆς Ἀσίας ἐς τὴν Εὐρώπην. ἀπὸ δὲ τούτου ῥηϊδίως ἐστὶν ἀριθμῆσαι τὸν χρόνον τῷ ἐθέλοντι ζητεῖν ἐκ τῶν ἀρχόντων Ἀθήνῃσι. τῶν δὲ Τρωϊκῶν ὕστερον γέγονεν Ὅμηρος ἔτεσιν ἑκατὸν ἑξηκονταοκτώ.

ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΚΑΙ τῆς ποιήσεως τοῦ Ὁμήρου.

ΠΕΡΙΤΤΟΝ ἴσως δόξει τισὶ πολυπραγμονεῖν περὶ Ὁμήρου, ποίων τε ἦν γονέων, καὶ πόθεν· ἐπεὶ μηδ' αὐτὸς ἠξίωσεν εἰπεῖν τι περὶ αὑτοῦ, ἀλλ' οὕτως ἐγκρατῶς ἔσχεν ὡς μηδὲ τὴν ἀρχὴν τοῦ ὀνόματος ἐπιμνησθῆναι. ἐπεὶ δ' ὡς πρὸς εἰσαγωγὴν τῶν ἀρχομένων παιδεύεσθαι χρήσιμος ἡ πολυπειρία, πειρασόμεθα εἰπεῖν ὅσα ἱστόρηται τοῖς πάλαι περὶ αὐτοῦ. Ἔφορος μὲν οὖν ὁ Κυμαῖος ἐν συντάγματι τῷ ἐπιγραφομένῳ ἐπιχωρίῳ, Κυμαῖον αὐτὸν ἀποδεικνύναι πειρώμενος, φησὶν ὅτι Ἀπελλῆς καὶ Μαίων καὶ Δῖος, ἀδελφοί, Κυμαῖοι τὸ γένος· ὧν Δῖος μὲν διὰ χρέα μετῴκησεν ἐς Ἄσκρην κώμην τῆς Βοιωτίας· κἀκεῖ γήμας τὴν Πυκιμήδην, ἐγέννησεν Ἡσίοδον· Ἀπελλῆς δὲ τελευτήσας ἐν τῇ πατρίδι Κύμῃ, κατέλιπε θυγατέρα Κρηθηΐδα τοὔνομα, προστησάμενος αὐτῇ τὸν ἀδελφὸν Μαίονα· ὃς διακορεύσας τὴν προειρημένην, καὶ τὴν ἀπὸ τῶν πολιτῶν ἐπὶ τῷ γεγονότι δείσας κατάγνωσιν, ἔδωκεν αὐτὴν πρὸς γά-

μον Φημίῳ Σμυρναίῳ διδασκάλῳ γραμμάτων· Φοιτῶσα δὲ αὐτὴ ἐπὶ τοὺς πλυνοὺς οἳ ἦσαν παρὰ τῷ Μέλητι, ἀπεκύησε τὸν Ὅμηρον ἐπὶ τὸν ποταμόν, καὶ διὰ τοῦτο Μελησιγένης ἐκλήθη. μετονομάσθη δὲ Ὅμηρος ἐπειδὴ τὰς ὄψεις ἐπηρώθη. οὕτω δὲ ἐκάλουν οἵ τε Κυμαῖοι καὶ οἱ Ἴωνες τοὺς τὰς ὄψεις πεπηρωμένους, παρὰ τὸ δεῖσθαι τῶν ὁμηρευόντων, ὅ ἐστι τῶν ἡγουμένων. ταῦτα μὲν Ἔφορος. Ἀριστοτέλης δὲ ἐν τῷ τρίτῳ περὶ ποιητικῆς, ἐν Ἴῳ φησὶ τῇ νήσῳ, καθ᾽ ὃν καιρὸν Νηλεὺς ὁ Κόδρου τῆς Ἰωνικῆς ἀποικίας ἡγεῖτο, κόρην τινὰ τῶν ἐπιχωρίων γενομένην ὑπό τινος δαίμονος τῶν συγχορευτῶν μούσαις ἐγκύμονα, αἰδεσθεῖσαν τὸ συμβὰν διὰ τὸν ὄγκον τῆς γαστρός, ἐλθεῖν εἴς τι χωρίον τὸ καλούμενον Αἴγιναν· εἰς ὃ καταδραμόντας λῃστὰς ἀνδραποδίσαι τὴν προειρημένην· καὶ ἀγαγόντας εἰς Σμύρναν οὖσαν ὑπὸ Λυδοῖς τότε, τῷ βασιλεῖ τῶν Λυδῶν ὄντι φίλῳ τοὔνομα Μαίονι χαρίσασθαι. τὸν δὲ, ἀγαπήσαντα τὴν κόρην διὰ τὸ κάλλος, γῆμαι· ἣν διατρίβουσαν παρὰ τῷ Μέλητι, καὶ συσχεθεῖσαν ὑπὸ τῆς ὠδῖνος, ἔτυχεν ἀποκυῆσαι τὸν Ὅμηρον ἐπὶ τῷ ποταμῷ· ὃν ἀναλαβὼν ὁ Μαίων, ὡς ἴδιον ἔτρεφε, τῆς Κριθηΐδος μετὰ τὴν κύησιν εὐθέως τελευτησάσης. χρόνου δὲ οὐ πολλοῦ διελθόντος καὶ αὐτὸς ἐτελεύτησε· τῶν δὲ Λυδῶν καταπονουμένων ὑπὸ τῶν Αἰολέων, καὶ κρινάντων καταλιπεῖν τὴν Σμύρναν, καὶ κηρυξάντων τῶν ἡγεμόνων τὸν βουλόμενον ἀκολουθεῖν, ἐξιέ-

ναι τῆς πόλεως, ἔτι νήπιος ὢν Ὅμηρος ἔφη καὶ αὐτὸς βούλεσθαι ὁμηρεῖν· ὅθεν ἀντὶ Μελησιγενοῦς, Ὅμηρος προσηγορεύθη. γενόμενος δὲ ἐν ἡλικίᾳ, καὶ δόξαν ἐπὶ ποιητικῇ κεκτημένος ἤδη, ἐπηρώτα τὸν θεὸν τίνων τε εἴη γονέων, καὶ πόθεν. ὁ δὲ ἀνεῖλεν οὕτως,

Ἔστιν Ἴος νῆσος μητρὸς πατρὶς, ἥ σε θανόντα
Δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.

Φέρεται καὶ ἕτερος χρησμὸς τοιοῦτος,

Ὄλβιε καὶ δύσδαιμον (ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι)
Πατρίδα δίζηαι· μητρὸς δέ τοι, οὐ πατρός ἐστι
Μητρόπολις ἐν νήσῳ ἀπὸ Κρήτης εὐρείης,
Μίνωος γαίης οὔτε σχεδὸν οὔτ' ἀποτηλοῦ·
Ἐν τῇ σῇ μοῖρ' ἐστι τελευτῆσαι βιότοιο,
Εὖτ' ἂν ἀπὸ γλώττης παίδων μὴ γνῷς ἐπακούσας
Δυσξύνετον σκολιοῖσι λόγοις εἰρημένον ὕμνον.
Δοιὰς γὰρ ζωῆς μοίρας λάχες, τὴν μὲν ἀμαυρὰν
Ἠελίων δοιῶν· τὴν δὲ, ἀθανάτοις ἰσόμοιρον,
Καὶ ζῶν, καὶ φθίμενος· φθίμενος δὲ ἔτι πολλὸν
ἀγήρως.

μετ' οὐ πολὺν χρόνον πλέων ἐς Θήβας ἐπὶ τὰ Κρόνια (ἀγὼν δὲ οὗτος ἄγεται παρ' αὐτοῖς μουσικὸς) ἦλθεν ἐς Ἴον· ἔνθα ἐπὶ πέτρας καθεζόμενος, ἐθεάσατο ἁλιεῖς προσπλέοντας, ὧν ἐπυνθάνετο εἴ τι ἔχοιεν. οἱ δὲ, ἐπὶ τῷ θηρᾶσαι μὲν μηδὲν, φθείζεσθαι δὲ, διὰ τὴν ἀπορίαν τῆς θήρας, οὕτως ἀπεκρίναντο, ὅσ' ἕλομεν, λιπόμεσθα· ὅσ' οὐχ ἕλομεν, φερόμεσθα· αἰνισσόμενοι ὡς ἄρα οὓς μὲν

ἔλαβον τῶν φθειρῶν, ἀποκτείναντες κατέλιπον· οὓς δ' οὐκ ἔλαβον, ἐν τῇ ἐσθῆτι φέρειν. ὅπερ οὐ δυνηθεὶς συμβαλεῖν Ὅμηρος, διὰ τὴν ἀθυμίαν ἐτελεύτησε. θάψαντες δὲ αὐτὸν οἱ Ἰῆται μεγαλοπρεπῶς, τοιόνδε ἐπέγραψαν αὐτοῦ τῷ τάφῳ,

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
Ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον·

εἰσὶ δὲ οἱ καὶ Κολοφώνιον αὐτὸν ἀποδεικνύναι, μεγίστῳ τεκμηρίῳ χρώμενοι πρὸς ἀπόδειξιν, τῷ ἐπὶ τοῦ ἀνδριάντος ἐπιγεγραμμένῳ ἐλεγείῳ. ἔχει δὲ οὕτως,

Υἱὲ Μέλητος Ὅμηρε· σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ,
Καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον.
Καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεινήσαο κούρας
Δισσάς, ἡμιθέων γραψάμενος σελίδας.
Ὑμνεῖ δ' ἡ μὲν νόστον Ὀδυσσῆος πολύπλαγκτον,
Ἡ δὲ τὸν Ἰλιακὸν Δαρδανιδῶν πόλεμον.

ἄξιον δὲ μηδὲ τὸ ὑπὸ τοῦ Ἀντιπάτρου γραφὲν ἐπίγραμμα παραλιπεῖν, ἔχον οὐκ ἀσέμνως. ἔχει δὲ οὕτως,

Οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε,
Οἱ δὲ, καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον·
Οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν ἐΰκλαρον Σαλαμῖνα·
Οἱ δέ νυ τὰν Λαπιθᾶν ματέρα Θεσσαλίαν·
Ἄλλοι δ' ἄλλο μέλαθρον ἀΐαχον· εἰ δέ με Φοίβου
Χρὴ λέξαι πινυτὰν ἀμφαδὰ μαντοσύναν,
Πάτρη τοι πελέθει μέγας οὐρανὸς, ἐκ δὲ γυναικὸς

Οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.

γενέσθαι δὲ αὐτὸν φασὶ τοῖς χρόνοις, οἱ μὲν κατὰ τὸν Τρωϊκὸν πόλεμον, οὗ καὶ αὐτόπτην γενέσθαι· οἱ δὲ, μετὰ ἑκατὸν ἔτη τοῦ πολέμου· ἄλλοι δὲ, μετὰ πεντήκοντα καὶ ἑκατόν. ἔγραψε δὲ ποιήματα δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν· ὡς δέ τινες, οὐκ ἀληθῶς λέγοντες, γυμνασίας καὶ παιδιᾶς ἕνεκα, καὶ βατραχομυομαχίαν προσθεὶς καὶ μαργίτην. τοῦ δὲ Τρωϊκοῦ πολέμου καθ' Ὅμηρον τινές φασιν ἀρχὴν εἶναι τὴν τῶν θεῶν κρίσιν, Ἥρας καὶ Ἀθηνᾶς καὶ Ἀφροδίτης, περὶ κάλλους ὑπ' Ἀλεξάνδρου γενομένην. λέγειν γὰρ τὸν ποιητὴν,

Ὃς νείκεσσε θεὰς ὅτε οἱ μέσσαυλον ἵκοντο,
Τὴν δ' ᾔνεσσ' ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.

ἀλλ' ὡς οὐ πρέπον ὑπολαμβάνειν θεοὺς ὑπὸ ἀνθρώπων κρίνεσθαι, οὔτε ὑπὸ Ὁμήρου δι' ἄλλων παρίσταται τοῦτο. ὅθεν εὐλόγως ἠθέτηνται οἱ προκείμενοι στίχοι. ἄμεινον οὖν λέγειν ὅτι Ἀλέξανδρος ὁ Πριάμου παῖς, ἐπιθυμήσας Ἑλληνικοῦ βίου μαθεῖν ἀγωγὴν, ἔπλευσεν εἰς Σπάρτην· καὶ ἐπιξενωθεὶς Ἑλένῃ, Μενελάου κατὰ τὸν οἶκον οὐκ ὄντος, ἀνέπεισεν αὐτὴν ἀκολουθεῖν. ἐλθὼν δὲ εἰς τὴν Κραναὴν καλουμένην νῆσον, ἐμίγη πρῶτον τῇ γυναικὶ, κἀκεῖθεν πλεύσας διὰ Σιδῶνος καὶ Φοινίκης, ἧκεν ἐς Ἴλιον. ἐπιγνόντες δὲ οἱ περὶ Ἀγαμέμνονα καὶ Μενέλαον τὸ πεπραγμένον, στρατιὰν ἤθροισαν ἐν Αὐλίδι, πόλει τῆς Βοιωτίας· ἔνθα καὶ θυόντων αὐτῶν, δράκων ἐπὶ τὸ πλησίον

ἀνελθὼν δένδρον, στρουθοῦ νεοσσοὺς ὀκτὼ διέφθειρεν, οἷς ἡ μήτηρ ἐννάτη συγκατελέχθη. ἐμήνυε δὲ τὸ σημεῖον ὅτι ἐννέα ἔτη πολεμήσαντες Ἕλληνες, τῷ δεκάτῳ αἱροῦσι τὴν Ἴλιον. ἡνίκα δὲ πλεύσαντες ἐπέβησαν τῆς Τροίας, μετὰ πρώτην συμβολὴν, καθ' ἣν ἀνῃρέθη Πρωτεσίλαος, Μενέλαόν τε καὶ Ὀδυσσέα πρέσβεις ἀπέστειλαν τὴν Ἑλένην ἀπαιτοῦντας. τῶν δὲ Τρώων ἀντειπόντων, πάλιν συμβολὴν ἐποιοῦντο πολέμου· καὶ ἐπικρατήσαντες, τοὺς μὲν εἴασαν παρεδρεύειν τῇ πόλει· οἱ δὲ, στρατηγοῦντος Ἀχιλλέως, τὰς περικειμένας πόλεις ἐπόρθουν, συμμαχίας ἀφαιρούμενοι τοὺς Τρῶας. ἐξ ὧν μίαν ἑλόντες Χρύσαν, γέρας ἔδωσαν Ἀγαμέμνονι Χρυσηΐδα Χρύσου ἱερέως Ἀπόλλωνος θυγατέρα. ὁ δὲ, ἐλθὼν ἐπὶ τὸν ναύσταθμον ἵνα λυτρώσηται τὴν παῖδα, καὶ ὑβρισθεὶς ὑπὸ Ἀγαμέμνονος, ηὔξατο τῷ Ἀπόλλωνι κολάσαι τοὺς Ἕλληνας. ἐπακούσας δὲ τῆς εὐχῆς ὁ θεὸς, λοιμὸν ἔπεμψεν αὐτοῖς. καὶ τότε Ἀχιλλέως παραινέσαντος ἀποδοῦναι τὴν Χρυσηΐδα, Ἀγαμέμνων ὀργισθεὶς ἠπείλησεν ἀφαιρήσεσθαι τὸ Ἀχιλλέως γέρας Βρισηΐδα. ὁ δὲ τὴν μητέρα Θέτιν ἔπεισεν αἰτήσασθαι παρὰ τοῦ Διὸς ἧτταν Ἑλλήνων. οὗ γινομένου, Πάτροκλος προτραπεὶς ὑπὸ Νέστορος, ἱκέτευσεν Ἀχιλλέα δοῦναι κἂν ἐπ' ὀλίγον τὴν πανοπλίαν αὐτῷ, ἵνα τοὺς Τρῶας τῶν νεῶν ἀπώσηται. ἐξελθὼν οὖν ὁ Πάτροκλος, καὶ γενναίως ἀριστεύσας, μετ' οὐ πολὺ ἀνῃρέθη. χαλεπήνας δὲ ὁ Ἀχιλλεὺς ἐπαύ-

σατο μὲν τῆς πρὸς Ἀγαμέμνονα ἔχθρας, λαβὼν δὲ τὴν ἡφαιστότευκτον πανοπλίαν, ἄλλους τε πολλοὺς καὶ τελευταῖον ἀνεῖλεν Ἕκτορα. ἡ μὲν οὖν τάξις τῶν πραγμάτων ἐστὶν αὕτη. ὁ δὲ ποιητὴς ἀπὸ τοῦ ἐνάτου ἔτους ἤρξατο, ἐπεὶ τὰ πρὸ τῆς Ἀχιλλέως μήνιδος ἦν ἀτονώτερα, καὶ πράξεις οὐκ ἔχοντα μακράς, οὐδὲ ἐπαλλήλοις. συμμαχοῦντος γὰρ Ἕλλησιν Ἀχιλλέως,

Οὐδέποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
Οἴχνεσκον. κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος.

θαρσήσαντες δὲ τούτου ἀποστάντος, προῆλθον. καὶ τῆς μάχης ἴσης γινομένης, πολυπρόσωποί τε καὶ συνεχεῖς τῶν ἡρώων ἀριστεῖαι κατέστησαν.

ΟΜΗΡΟΝ τὸν ποιητὴν, χρόνῳ μὲν, τῶν πλείστων, δυνάμει δὲ, πάντων πρῶτον γενόμενον, εἰκότως ἀναγινώσκομεν πρῶτον, ὠφελούμενοι τὰ μέγιστα εἴς τε τὴν φωνὴν, καὶ τὴν διάνοιαν, καὶ τὴν τῶν πραγμάτων πολυπειρίαν. λέγωμεν δὲ περὶ τῆς τούτου ποιήσεως, πρότερον μνησθέντες διὰ βραχέων τοῦ γένους αὐτοῦ. Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη Χῖόν τε καὶ Σμυρναῖον γενέσθαι· Σιμωνίδης δὲ, Χῖον· Ἀντίμαχος δὲ καὶ Νίκανδρος, Κολοφώνιον· Ἀριστοτέλης δὲ ὁ φιλόσοφος, Ἰήτην· Ἔφορος δὲ ὁ ἱστορικὸς, Κυμαῖον. οὐκ ὤκνησαν δέ τινες Σαλαμίνιον αὐτὸν εἰπεῖν, ἀπὸ Κύπρου· τινὲς δὲ, Ἀργεῖον· Ἀρίσταρχος δὲ καὶ Διονύσιος ὁ Θρᾷξ, Ἀθηναῖον. υἱὸς δὲ ὑπ' ἐνίων λέγεται Μαίονος καὶ Κρηθηΐδος· ὑπὸ δέ τινων, Μέλητος τοῦ ποταμοῦ.

Ὥσπερ δὲ τὰ τοῦ γένους αὐτοῦ διαπορεῖται, οὕτω καὶ τὰ περὶ τῶν χρόνων καθ' οὓς ἐγένετο. καὶ οἱ μὲν περὶ Ἀρίσταρχον φασὶν αὐτὸν γενέσθαι κατὰ τὴν Ἰώνων ἀποικίαν (ἥτις ὑστερεῖ τῆς τῶν Ἡρακλειδῶν καθόδου ἔτεσιν ἑξήκοντα· τὰ δὲ περὶ τοὺς Ἡρακλείδας λείπεται τῶν Τρωϊκῶν ἔτεσιν ὀγδοήκοντα) οἱ δὲ περὶ Κράτητα καὶ πρὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου λέγουσιν αὐτὸν γενέσθαι, ὡς οὐδὲ ὅλα ἔτη ὀγδοήκοντα ἀπέχειν τῶν Τρωϊκῶν. ἀλλὰ παρὰ τοῖς πλείστοις πεπίστευται μετὰ ἔτη ἑκατὸν τῶν Τρωϊκῶν γεγονέναι, οὐ πολὺ πρὸ τῆς θέσεως τῶν Ὀλυμπίων, ἀφ' ἧς ὁ κατὰ ὀλυμπιάδα χρόνος ἀριθμεῖται.

ΕΙΣΙ δὲ αὐτοῦ ποιήσεις δύο, ἰλιὰς καὶ ὀδύσσεια· διῃρημένη ἑκατέρα εἰς τὸν ἀριθμὸν τῶν στοιχείων, οὐχ ὑπὸ τοῦ αὐτοῦ ποιητοῦ, ἀλλ' ὑπὸ τῶν γραμματικῶν τῶν περὶ Ἀρίσταρχον. ὧν ἡ μὲν ἰλιὰς ἔχει τὰς ἐν Ἰλίῳ πράξεις Ἑλλήνων τε καὶ βαρβάρων, διὰ τὴν Ἑλένης ἁρπαγήν, καὶ μάλιστα τὴν Ἀχιλλέως ἐν τῷ πολέμῳ τούτῳ διαδειχθεῖσαν ἀλκήν· ἡ δὲ ὀδύσσεια, τὴν Ὀδυσσέως ἀνακομιδὴν ἐς τὴν πατρίδα ἀπὸ τοῦ Τρωϊκοῦ πολέμου, καὶ ὅσα πλανώμενος ἐν τῷ νόστῳ ὑπέμεινε, καὶ ὅπως τοὺς ἐπιβουλεύοντας τῷ οἴκῳ αὐτοῦ ἐτιμωρήσατο. ἐξ ὧν δῆλός ἐστι παριστὰς διὰ μὲν τῆς ἰλιάδος, ἀνδρίαν σώματος· διὰ δὲ τῆς ὀδυσσείας, ψυχῆς γενναιότητα.

Εἰ δὲ μὴ μόνον ἀρετὰς ἀλλὰ καὶ κακίας ψυχῆς ἐν ταῖς ποιήσεσι παρίστησι, λύπας τε καὶ χαράς, καὶ

φόβοις, καὶ ἐπιθυμίαις, οὐ χρὴ αἰτιᾶσθαι τὸν ποιητήν, παρόντα δὲ μιμεῖσθαι οὐ μόνον τὰ χρηστὰ ἤθη, ἀλλὰ καὶ τὰ φαῦλα. ἄνευ γὰρ τούτων παράδοξοι πράξεις οὐ συνίστανται, ὧν ἀκούοντα ἔνεστιν αἱρεῖσθαι τὰ βελτίω. πεποίηκε δὲ τοὺς θεοὺς τοῖς ἀνθρώποις ὁμιλοῦντας, οὐ μόνον ψυχαγωγίας καὶ ἐκπλήξεως χάριν, ἀλλ' ἵνα καὶ ἐν τούτῳ παραστήσῃ ὅτι κήδονται καὶ οὐκ ἀμελοῦσι τῶν ἀνθρώπων οἱ θεοί.

Καὶ τὸ μὲν ὅλον παρ' αὐτῷ διήγησις τῶν πραγμάτων παράδοξος καὶ μυθώδης κατεσκεύασται, ὑπὲρ τοῦ πληροῦν ἀγωνίας καὶ θαύματος τοὺς ἐντυγχάνοντας, καὶ ἐκπληκτικὴν τὴν ἀκρόασιν καθιστάναι. ὅθεν δοκεῖ ἵνα παρὰ τὸ εἰκὸς εἰρηκέναι. καὶ γὰρ ἀεὶ τὸ πιθανὸν ἕπεται, ἐν ᾧ τὸ παράδοξον καὶ ἐπηρμένον πρόκειται. διὸ καὶ οὐ μόνον τὰ πράγματα μετεωρίζει, καὶ ἐκτρέπει τῆς συνηθείας, ἀλλὰ καὶ τοὺς λόγους. ὅτι δὲ ἀεὶ τὰ καινὰ καὶ ἔξω τοῦ προχείρου θαυμάζεται, καὶ τὸν ἀκροατὴν ἐπάγεται, παντὶ δῆλον. πλὴν καὶ ἐν τοῖς μυθώδεσι τούτοις λόγοις, εἴ τις μὴ παρέργως ἀλλ' ἀκριβῶς ἕκαστα τῶν εἰρημένων ἐπιλέγοιτο, φανεῖται πάσης λογικῆς ἐπιστήμης καὶ τέχνης ἐντὸς γενόμενος, καὶ πολλὰς ἀφορμάς, καὶ οἱονεὶ σπέρματα καὶ λόγων καὶ πράξεων παντοδαπῶν τοῖς μετ' αὐτὸν παρεσχόμενος· καὶ οὐ τοῖς ποιηταῖς μόνον, ἀλλὰ καὶ τοῖς πεζῶν λόγων συνθέταις ἱστορικῶν τε καὶ θεωρηματικῶν.

ΕἸΣ ὍΜΗΡΟΝ ἘΠΙ-γράμματα παλαιὰ διαφόρων.

IN HOMERVM EPI-grammata vetera di-uerſorum.

Ex libris Anthologiæ epigrammatum, primo, tertio & quarto.

HENRICVS STEPHANVS LECTORI.

Primum locum iis dedi in quibus quænam Homeri ſit patria quæritur: ſecundum, iis quæ argumentū vtriuſque poematis Homerici exponunt: tertium, epitaphiis: quartum, cæteris. Nonnullis autem & Latinam interpretationē adiunxi, (vt Homeri encomia illi quoque legerent qui nullam aut paruam Græcæ linguæ cognitionem aſſequuti ſunt) iis videlicet quæ vel à me, inter ſelecta Anthologiæ epigrammata, ante biennium edita, vel ab alio quopiam Latinè reddita inueni. In quibuſdam verò & aliorum interpretationem meæ adieci.

ἈΔΕΣΠΟΤΟΝ ΕἸΣ Ὅμηρον.

Ὁπποίας τὸν Ὅμηρον ἀναγραψώμεθα πάτρης,
Κεῖνον ἐφ' ᾧ πᾶσαι χεῖρ' ὀρέγουσι πόλεις;
Ἢ τὸ μὲν ἐστιν ἄγνωστον· ὁ δ' ἀθανάτοις ἴσος ἥρως
Ταῖς μούσαις ἔλιπεν πατρίδα καὶ γενεήν;

IDEM INCERTI AVTORIS EPIgramma in Homerum, Latinè redditum AB HENR. STEPHANO.

Cui tandem patriæ nos adſcribemus Homerũ,
Illũ ad quẽ tendunt oppida cuncta manus?
An potius latet hoc: párque immortalibus heros
Et Muſis ortum liquerit & patriam?

ἈΝΤΙΠΆΤΡΟΥ.

Τίς ποθ' ὁ τὸν Τροίης πόλεμον σελίδεσσι χαράξας;
Ἢ τίς ὁ τὴν δολιχὴν Λαρτιάδαο πλάνην;
Οὐκ ὄνομ' εὑρίσκω σαφὲς, οὐ πόλιν. οὐράνιε Ζεῦ
Μήποτε σῶν ἐπέων δόξαν Ὅμηρος ἔχει;

IDEM ANTIPATRI, EPIgramma, Latinè redditum AB HENRICO STEPHANO.

Quis de Troiano has perarauit Marte tabellas,
Errante & longo tempore Lartiade?

Non vrbs huic certa eſt, non nomen. fallor, an autor,
Iuppiter, illarũ es, laus tibi Homere datur?

Aliter ab eodem.

Quis de Troiano hæc bello monumenta reliquit?
Quis de errante diu talia Lartiade?
Nomen in incerto eſt, vrbs eſt quoque. Iuppiter alme,
Quid ſi, quũ tua ſint, laus data Mæonidæ?

ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Οὐχὶ πέδον Σμύρνης ἐλοχεύσατο θεῖον Ὅμηρον,
Οὐ Κολοφὼν, τραφερῆς ἄστρον Ἰηονίης·
Οὐ Χίος, οὐκ Αἴγυπτος ἐΰσπορος, οὐ Κύπρος ἁγνὴ,
Οὐ νῆσος κραναὴ, Λαρτιάδαο πάτρη,
Οὐκ Ἄργος Δαναοῖο, Κυκλωπείη τε Μυκήνη,
Οὐδὲ τὸ Κεκροπίων ἄστυ παλαιογόνων.
Οὐ γὰρ ἔφυ χθονὸς ἔργον· ἀπ᾽ αἰθέρος ἀλλά ἑ Μοῦσαι
Πέμψαν, ἵν᾽ ἡμερίοις δῶρα ποθητὰ φέρῃ.

IDEM EPIGRAMMA
liberius redditum
À MARVLLO.

Vane quid affectas patriã mihi dicere terrã?
Metiriſque hominum conditione deos?
Nõ me Smyrna creat, nõ me Colophonia tellus,
Non Pylos, æquoreis non Chios icta minis,
Nõ Ithace, prænobile equis nõ Argos alendis,

Non quæ de dominæ nomine dicta deæ eſt.
Non Salamis, non chara ſuo Rhodos aurea
Phœbo:
Aut Ius, aut Pharij fertilis ora ſoli.
Mortalis ſunt iſta viri: me lucidus æther
Parturit, enatum terra fretúmque colunt.

ἈΝΤΙΠΆΤΡΟΥ, ΕἸΣ
τὸν αὐτόν.

Οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν Ὅμηρε,
Οἱ δὲ καλὰν Σμύρναν, οἱ δ᾽ ἐνέπουσι Χίον·
Οἱ δ᾽ Ἴον, οἱ δ᾽ ἐβόασαν εὔκλαρον Σαλαμῖνα,
Οἱ δέ νυ τὴν Λαπιθῶν μητέρα Θεσσαλίην.
Ἄλλοι δ᾽ ἄλλην γαῖαν ἀνίαχον. εἰ δέ με Φοίβου
Χρὴ λέξαι πινυτὰς αὔδιχα μαντοσύνας,
Πάτρα σοι τελέθει μέγας οὐρανός· ἐκ δὲ τεκούσης
Οὐ θνατᾶς, ματρὸς δ᾽ ἔπλεο Καλλιόπας.

IDEM EPIGR. LATINO
carmine redditum
A GVARINO VERON.

Diceris à multis Colophonis alūnus, Homere:
Hic te Smyrnæum credit, at ille Chium.
Quin & Ion quidam, quidam Salamina ſu-
perbam,
Theſſaliam multi te genuiſſe ferunt.
Sunt & qui memorent aliis te ſedibus ortum.
Sic variis natus crederis eſſe locis.
Dicere ſi liceat mihi Phœbi oracula, cælum
Certa tibi patria eſt, Calliopea parens.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ ἐριδμαίνουσι πόλεις διὰ ῥίζαν Ὁμήρου,
Κύμη, Σμύρνα, Χίος, Κολοφὼν, Πύλος, Ἄργος, Ἀ-
θῆναι.

IDEM EPIGR. LATINO
carmine redditum
AB HENR. STEPHANO.

Vrbes eſſe ſuum ſeptem rixantur Homerum:
Cume, Smyrna, Chius, Colophon, Pylus, Ar-
gos, Athenæ.

ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Ἑπτὰ πόλεις μάρναντο σοφὴν διὰ ῥίζαν Ὁμήρου,
Σμύρνα, Χίος, Κολοφὼν, Ἰθάκη, Πύλος, Ἄργος,
Ἀθῆναι.

IDEM EPIGR. LATINO
carmine redditum
AB HENR. STEPHANO.

Vrbes Mæonidæ ſibi dant cunabula, ſeptem,
Smyrna, Chius, Colophon, Ithace, Pylus, Ar-
gos, Athenæ.

ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Ἑπτὰ πόλεις διερίζουσι περὶ ῥίζαν Ὁμήρου,
Σμύρνα, Ῥόδος, Κολοφὼν, Σαλαμὶν, Ἴος, Ἄρ-
γος, Ἀθῆναι.

Ab incerto interprete.

Septē vrbes certāt de ſtirpe inſignis Homeri,

Smyrna, Rhodos, Colophon, Salamin, Ius, Argos, Athenæ.

ΕἸΣ ΤῸΝ ΑὙΤΌΝ.

[a] Χῖος ἔφυς; [b] οὔ φημι. [a] τί δαὶ, Σμυρναῖος; [b] ἀπαυδῶ.
[a] Κύμη δ' ἢ Κολοφὼν πατρὶς Ὅμηρε σέθεν;
[b] Οὐδετέρη. [a] Σαλαμὶς ἦ, τεὴ πόλις; [b] οὐδ' ἀπὸ ταύτης
Ἐξέφυν. [a] ἀλλ' αὐτὸς λέξον ὅπῃ γέγονας.
[b] Οὐκ ἐρέω. [a] τίνος ἦ ῥά; [b] πέπεισμ' ὅτι τἀτρεκὲς εἰπὼν,
Ἕξω τὰς ἄλλας ἄμμιν ἀπεχθομένας.

IDEM EPIGR. LATINO carmine redditum AB HENR. STEPHANO.

[a] *Chius es?* [b] *Haud equidem.* [a] *Smyrnæus es? Hinc quoque non ſum.*
[a] *Cuma tibi, aut Colophō, Mæonide, patria eſt?*
[b] *Neutra.* [a] *Quid? es Salamine ſatus?* [b] *Salaminius haud ſum.*
[a] *Ipſe ergo patriam confiteare tuam.*
[b] *Non faciam.* [a] *Cur non?* [b] *Ex qua me cunque fatebor*
Eſſe, mihi infenſæ tum fuerint reliquæ.

ΕἸΣ ΤῸΝ ΑὙΤΌΝ.

Οὐδ' εἴ με χρύσειον ἀπὸ ῥαιστῆρος Ὅμηρον

Στήσιτι, φλογέαις ἐν Διὸς ἀστεροπαῖς,
Οὐκ εἰμ' οὐδ' ἔσομαι Σαλαμίνιος, οὐδ' ὁ Μέλητος
Δημαγόρου· μὴ ταῦτ' ὄμμασιν Ἑλλὰς ἴδοι.
Ἄλλον ποιητὴν βασιλίζετε· τὰ μὰ δὲ μοῦσαι
Καὶ Χίος Ἑλλήνων παισὶν ἀείσετ' ἔπη.

ἈΝΤΙΦΙΛΟΥ ΕἸΣ ἸΛΙΑΔΑ καὶ ὀδύσσειαν.

[a] Αἱ βίβλοι, τίνος ἐστέ; τί κεύθετε; [b] θυγατέρες μὲν
Μαιονίδου, μύθων δ' ἴστορες Ἰλιακῶν.
Ἁ μία μὲν μῆνιν μὲν Ἀχιλλέος, ἔργα τε χειρὸς
Ἑκτορέας, δεκέτους τ' ἆθλα λέγει πολέμου·
Ἁ δ' ἑτέρα, μόχθον τὸν Ὀδυσσέος, ἀμφί τε λέκτροις
Χηρείοις ἀγαθᾶς δάκρυα Πηνελόπας.
[a] Ἵλατε σὺν μούσαισι. μεθ' ὑμετέρας γὰρ ἀοιδὰς,
Εἶπεν ἔχειν αἰὼν ἕνδεκα Πιερίδας.

IDEM EPIGR. LATINO carmine redditum AB HENR. STEPHANO.

[a] *O libri, cuiúſnã eſtis? quid conditis?* [b] *Ambo*
Mæonidæ, qui res pandimus Iliacas:
Vnus Achilleas iras, & fortia facta
Hectoris, atque annis bella patrata decem:
Alter Vlyſſeos errores, multáque caſtæ
Penelopæ in viduo triſtia verba toro.

[a] *Vos ego cum Muſis veneror, veſtros quia cantus*
Eſſe orbis Muſæ credidit vndecimæ.

A BELLICARIO.

[a] *Quæ? cuius? latitans quid habes ô ſcriptio?* [b] *natæ*
Mæonidæ, Iliacam pandimus hiſtoriam.
Altera Pelidæq; iras, ſimul Hectora magnũ,
Atque decennalem Martis agona canit:
Altera iactatum diuerſa per æquora Vlyſſem,
Dum gemit in viduo Penelopea thoro.
Placate vt Muſas: quas admirata canentes
Vndenas numerant ſecula Pieridas.

A VENATORIO.

[a] *Quínam eſtis libri? quid fertis?* [b] *filiæ Homeri*
Magni, Dardanidûm pandimus hiſtoriã.
Prima iram Pelidæ, & denos bella per annos,
Et quæ egit bello Troicus Hector, habet:
Altera Vlyſſeos ingenti laude labores
Continet, & caſtæ Penelopæ lachrymas.
Parcitè cum Muſis qui ſcribitis: vndecim habent nunc
Secula Phœbeo in carmine Pieridas.

A CORNARIO.

[a] *Cuius vos libri? quid conditis?* [b] *Iliacenſem*
Hiſtoriam: extamus filiæ Homere tuæ.

Altera Achillei nam continet arma furoris,
Hectora, & annorùm prælia deinde decẽ.
Altera verſutúmque malis exercitũ Vlyſſem,
Et lachrymas vidui Penelopes thalami.
Nos colite vt Muſas: noſtro eſt nam carmine factum vt
Vndenas habeant ſecula Pieridas.

ΕἸΣ ΤῸΝ ΑὙΤΌΝ.

Υἱὲ Μέλητος Ὅμηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ
Καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον·
Καὶ τάσδ᾽ ἀντιθέῳ ψυχῇ γεινήσαο κούρας,
Δισσὰς ἐκ στηθέων γραψάμενος σελίδας.
Ὑμνεῖ δ᾽ ἡ μὲν νόστον Ὀδυσσῆος πολύπλαγκτον,
Ἡ δὲ τὸν Ἰλιακὸν Δαρδανίων πόλεμον.

IDEM EPIGR. LATINO
carmine redditum

A GVARINO VERON.

Nate Melete, decus Graiorum ac ſplendor, Homere,
Nobilitas patriam qui Colophona tuam.
Diuina geminas genuiſti mente puellas,
Semideûm ſcribens inclyta geſta virûm.
Altera multiuagi reditum cantauit Vlyſsis,
Altera Graiugenas Dardanióſque duces.

ΕἸΣ ΤῸΝ ΑὙΤΌΝ.

Εἰς αἰῶνας Ὅμηρε καὶ ἐξ αἰῶνος ἀείδῃ,

Οὐρανίης μούσης δόξαν ἀειράμενος.
Μῆνιν μὲν γὰρ ἄεισας Ἀχιλλέος, αὐτὰρ Ἀχαιῶν
Στρομβηδὸν νηῶν σύγχυσιν ἐν πελάγει·
Τειρόμενόν τε πλάνῃσιν Ὀδυσσέα ποικιλόβουλον,
Τοῦ λέχος ἀσπασίως εἴσιδε Πηνελόπη.

ἈΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙ'ΟΥ
εἰς τὸν αὐτόν.

Ἀνδρομάχης ἔτι θρῆνον ἀκούομεν, εἰσέτι Τροίην
Δερκόμεθ' ἐκ βάθρων πᾶσαν ἐρειπομένην,
Καὶ μόθον αἰάντειον ὑπὸ στεφάνῃσι πόληος,
Ἠδὲ τὸν ἐξ ἵππων Ἕκτορα συρόμενον,
Μαιονίδεω διὰ μοῦσαν· ὃν οὐ μία πατρὶς ἀοιδὸν
Κοσμεῖται, γαίης δ' ἀμφοτέρης κλίματα.

IDEM EPIGR. LATINO
carmine redditum

A BELLICARIO.

Lugentem Andromachen etiamnũ audimus, & ipſa
Cernimus Argiua Pergama ſtrata manu:
Sudantem Aiacẽ trepidæ ſub mœnibus vrbis,
Raptetúrque feris magnus vt Hector equis:
Carmine Mæonij vatis: quem patria laudat
Non vna, at mundi climata bina colunt.

A VENATORIO.

Andromaches etiamnum hodie lamenta ſuperſunt,

Troia, licet bello diruta, viuit adhuc.
Conſpicitur labor Aiacis, viſuntur & illi
Hectora qui reuehunt (flebile funus) equi:
Carmine Mæonij: quem patria non colit vna,
Sed potius gemini climata bina ſoli.

ἈΝΤΙΠΆΤΡΟΥ ΣΙΔΩΝΊΟΥ
εἰς τὸν αὐτόν.

Τὰν μερόπων πειθὼ, τὸ μέγα στόμα, τὰν ἴσα μού-
σαις
Φθεγξαμέναν κεφαλὰν, ὦ ξένε, Μαιονίδεω,
Ἅδ' ἔλαχον νασῖτις Ἴου σπιλάς. οὐ γὰρ ἐν ἄλλᾳ
Ἱερὸν ἀλλ' ἐν ἐμοὶ πνεῦμα θανὼν ἔλιπεν.
Ὧ νεῦμα Κρονίδαο τὸ παγκρατὲς, ᾧ καὶ ὄλυμπον
Καὶ τὰν Αἴαντος ναύμαχον εἶπε βίαν,
Καὶ τὸν Ἀχιλλείοις Φαρσαλίσιν Ἕκτορα πώλοις
Ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ.
Εἰ δ' ὀλίγα κρύπτω τὸν τηλίκον, ἴσθ' ὅτι κεύθει
Καὶ Θέτιδος γαμέταν ἁ βραχύβωλος Ἴκος.

ἈΛΚΑΊΟΥ ΜΕΣΣΗΝΊΟΥ
εἰς τὸν αὐτόν.

Ἡρώων τὸν ἀοιδὸν Ἴῳ ἔνι παῖδες Ὅμηρον
Ἤκαχον, ἐκ μουσέων γρῖφον ὑφηνάμενοι·
Νέκταρι δ' εἰνάλιαι Νηρηίδες ἐχρίσαντο,
Καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι·
Ὅττι Θέτιν κύδηνε καὶ υἱέα, καὶ μόθον ἄλλων

Ἡρώων, Ἰθακοῦ τ' ἔργματα Λαρτιάδεω.
Ὀλβίστη νῆσος πόντῳ Ἴος, ὅττι κε κεῦθε
Βαιὴ Μουσάων ἀστέρα καὶ Χαρίτων.

ΠΑΥ΄ΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙ΄ΟΥ
εἰς τὸν αὐτόν.

Ἐνθάδε Πιερίδων τὸ σοφὸν στόμα, θεῖον Ὅμηρον,
Κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ.
Εἰ δ' ὀλίγη γε γαῖα τόσον χάδεν ἀστέρα νῆσος,
Μὴ τόδε θαμβήσῃς ὦ ξένε δερκόμενος·
Καὶ γὰρ ἀλητεύουσα κασιγνήτη ποτὲ Δῆλος
Μητρὸς ἐπ' ὠδίνων δέξατο Λητοΐδην.

ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
Ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

IDEM EPIGR. LATINO
carmine re dditum

A VITO.

Hic ſacrum terra caput occultatur Homeri,
Qui canere heroum præſtantia facta ſolebat.

A GVARINO VERON.

Cōditur hoc tumulo vates diuinus Homerus
Heroum cecinit qui bene geſta ducum.

ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Ἐνθάδε θεῖος Ὅμηρος, ὃς Ἑλλάδα πᾶσαν ἄεισε,

Θήϐης ἐκγεγαὼς τῆς ἑκατονταπύλου.

IDEM EPIGR. LATINO carmine redditum A CORNARIO.

Hic ſitus eſt diuus Græcorũ ſcriptor Homerus,
Quem centũ portis ſplendida Theba dedit.

ἈΝΤΙΠΆΤΡΟΥ ΕἸΣ τὸν αὐτόν.

Ἡρώων κάρυκ᾽ ἀρετᾶς, μακάρων δὲ προφήταν,
Ἑλλάνων βιοτᾷ δεύτερον ἀέλιον,
Μουσᾶν φέγγος Ὅμηρον, ἀκήρατον στόμα κόσμου
Παντὸς, ἁλιῤῥόθια ξεῖνε κέκευθε κόνις.

ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙ͂ΝΟΥ εἰς Ὅμηρον.

Ἄστρα μὲν ἠμαύρωσε καὶ ἱερὰ κύκλα σελήνης
Ἄξονα δινήσας ἔμπυρος ἠέλιος·
Ὑμνοπόλους δ᾽ ἀγεληδὸν ἀπημάλδυνεν Ὅμηρος,
Λαμπρότατον μουσᾶν φέγγος ἀναχόμενος.

IDEM EPIGR. LATINO carmine redditum A FRANCISCO BELLICARIO.

Sidera luciferi fax ignea ſolis inumbrat,
Splendores eadem, Cynthia luna, tuos.

Sic omnes ſimul obſcurat condítque poetas
Pierio inſignis Mæonides radio.

A VENATORIO.

Omnia vi lucis ſuperat ſol igneus aſtra,
Obfuſcátque orbes pallida luna tuos.
Sic paßim proprio ſuperat ſplendore poetas
Omnes, Muſarum lumen Homerus habẽs.

ΦΙΛΙΠΠΟΥ ΕἸΣ ΤῸΝ
αὐτὸν Ὅμηρον.

Οὐρανὸς ἄστρα τάχιον ἀποσβέσει, ἢ τάχα νυκτὸς
Ἠέλιος φαιδρὴν ὄψιν ἀπεργάσεται; (ἕξει,
Καὶ γλυκὺ νᾶμα θάλασσα βροτοῖς ποτήσιμον
Καὶ νέκυς εἰς ζωῶν χῶρον ἀναδράμεται·
Ἢ ποτε Μαιονίδαο βαθυκλεὲς οὔνομ' Ὁμήρου
Λήθη γηραλέων ἁρπάσεται σελίδων.

IDEM EPIGR. LATINO
carmine redditum

A BELLICARIO.

Aſtra prius cælo marceſcent, noctis & inſtar
Solis inumbrabit lampas opaca diem:
Dulcis erit põtus, curuúmq; admittet aratrũ,
Siſtetur ſupero mortuus orbe prius,
Quàm dura extinguat venerandum obliuio nomen
Mæonidæ, doctis ſurripiátue libris.

A IOAN. SLEIDANO.

Aſtra prius cælo deerunt, & ſole ſub ipſo
Obſcuræ facies ſplendida noctis erit:
Ante maris fuerit dulcis quoq; fluxus acerbi:
Mortuus è tumulo ſurget & ante ſuo,
Quàm pereat magni cultiſſima Muſa poetæ,
Qui nunc à cæco lumine nomen habet.

A VENATORIO.

Deſtituent prius aſtra polum, citiúſque profundæ
Sol faciem noctis ſplendidus induerit:
Ante ſapor ſalſi pelagi dulceſcet amarus,
Reſtituet vitam mortuus ante ſibi,
Gloria quā pereat, ſublime aut nomē Homeri,
Cuius apud doctos Muſa perennis erit.

Aliter ab eodem.

Ipſa ſuos mundo radios prius aſtra negabunt,
Ante Panomphæus luce carere queat:
Et mare dulceſcet prius, & ſcindetur aratris,
Mortuus ad vitæ munera ſurget humo,
Quàm ſimul intereant laudes, & nomina vatis,
Cuius perpetuum fluxit ab ore melos.

ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Εἰ θεός ἐστιν Ὅμηρος, ἐν ἀθανάτοισι σεβέσθω·
Εἰ δ᾽ αὖ μὴ θεός ἐστι, νομιζέσθω θεὸς εἶναι.

IDEM EPIGR. LATINO carmine redditum

AB HENR. STEPHANO.

Mæonides deus eſt? diuos veneremur & inter:
At ſi non deus ille, deum tamen eſſe putemus.

ΕἸΣ ΤΌΝ ΑΥ̓ΤΌΝ.

Εὗρε φύσις, μόλις εὗρε· τεκοῦσα δ' ἐπαύσατο μόχθων,
Εἰς ἕνα μοῦνον Ὅμηρον ὅλην τρέψασα μενοινήν.

ΕἸΣ ΤΌΝ ΑΥ̓ΤΌΝ.

Τίς ποθ' Ὁμηρείης μεγάλης ἐπὸς ἐστὶν ἀπευθής;
Τίς χθὼν, τίς δὲ θάλαττα μάχην οὐκ οἶδεν Ἀχαιῶν;
Δῆμος ὁ Κιμμερίων, πανδερκέος ἄμμορος αἴγλης
Ἠελίου, Τροίης ὄνομ' ἔκλυεν, ἔκλυεν Ἄτλας,
Οὐρανὸν ὃς ῥύστρον ἔχων ἐπικείμενον ὤμοις.

IDEM EPIGR. LATINO carmine redditum

AB HENR. STEPHANO.

Quis magnā vocē, quis non audiuit, Homeri?
Quod mare, quæ tellus non prælia nouit Achiuûm?
Cimmeriωn populus, ſolis qui cuncta tuentis
Neſcius, audiuit nomen Troiæ: audiit Atlas,

Cuius

Cuius grande humeris incumbit pondus olympi.

ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Διεξιὼν Ὅμηρε τὴν κεκαυμένην,
Φθονεῖν ἀφῆκας τὰς ἀπορθήτους πόλεις.

IDEM EPIGR. LATINO carmine redditum

À POLITIANO.

Troiam canens Homere flammis erutam,
Vrbes graui liuore ſtantes concutis.

ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Ἔμφρονα χαλκὸν Ὅμηρος ἐδείκνυεν, οὔτε μὲν οἰνῆς
Ἄμμορον, οὔτε νόου κεχρημένον, ἀλλ' ἄρα μούνης
Φωνῆς ἀμβροσίης. ἀνέφαινε δὲ θυάδα τέχνην,
Ἦι, καὶ χαλκὸν ἔχευεν ὁμοῦ θεὸς εἴδεϊ μορφῆς.
Οὐ γὰρ ἐγὼ κατὰ θυμὸν ὀΐομαι ὅττι μιν ἀνὴρ
Ἐργοπόνος χάλκευσε παρ' ἐσχαρεῶνι θαάσσων,
Ἀλλ' αὐτὴ πολύμητις ἀνέπλασε χερσὶν Ἀθήνη,
Εἶδος ἐπισταμένη τό, τ' ἐώκεεν. ἐν γὰρ Ὁμήρῳ
Αὐτὴ ναιετάουσα σοφὴν ἐφθέγγετο μολπήν,
Σύννομος Ἀπόλλωνι. πατὴρ δὲ ἐμὸς, ἰσόθεος φὼς,
Ἵστατο θεῖος Ὅμηρος. εἴκελος μὲν ἀνδρὶ νοῆσαι
Γηραλέῳ, τὸ δὲ γῆρας ἔην γλυκύ. τοῦτο γὰρ αὐτῷ
Πλειοτέρην ἔσταξε χάριν· κεκέραστο δὲ κόσμῳ
Αἰδοίῳ τε φίλῳ τε· σέβας δὲ ἀπελάμπετο
μορφῆς.

Αὐχένι μὲν κύπτοντι γέρων ἐπεσύρετο βότρυς,
Χαίτης εἰσοπίσω πεφορημένος· ἀμφὶ δ᾽ ἀκουὰς
Πλαζόμενος κεχάλαστο. κάτω δ᾽ εὐρύνετο πώ-
γων
Ἀμφιταθεὶς, μαλακὸς δὲ καὶ εὔτροχος. οὐδὲ γὰρ ἦεν
Ὀξυτενὴς, ἀλλ᾽ εὖρος ἐπαύετο, κάλλος ὑφαίνων
Στήθεϊ γυμνωθέντι, καὶ ἱμερόεντι προσώπῳ.
Γυμνὸν δ᾽ εἶχε μέτωπον· ἐπ᾽ ἀπλοκάμῳ δὲ με-
τώπῳ
Ἧστο σαοφροσύνη κουροτρόφος. ἀμφὶ δ᾽ ἄρ᾽ ὀφρῦς
Ἀμφοτέρας προβλῆτας ἐΰσκοπος ἔπλασε τέχνη.
Οὔτι μάτην φαέων γὰρ ἐρημάδες ἦσαν ὀπωπαί.
Ἀλλ᾽ οὐκ ἦν ἀλαῷ ἐναλίγκιος ἀνδρὶ νοῆσαι.
Ἔζετο γὰρ κενεοῖς χάρις ὄμμασιν. ὡς δὲ δοκεύω,
Τέχνη τοῦτο τέλεσεν, ὅπως πάντεσσι φανείη
Φέγγος ὑπὸ κραδίην σοφίης ἄσβεστον ἀείρων.
Δοιαὶ μὲν ποτὶ βαιὸν ἐκοιλαίνοντο παρειαὶ,
Γήραϊ ῥικνήεντι κατάσχετοι· ἀλλ᾽ ἐν ἐκείναις
Αὐτογενὴς Χαρίτεσσι συνέστιος ἵζανεν αἰδώς.
Πιερικὴ δὲ μέλισσα περὶ στόμα θεῖον ἀλᾶτο,
Κηρίον ὠδίνουσα μελισταγές. ἀμφοτέρας δὲ
Χεῖρας ἐπ᾽ ἀλλήλῃσι λιθεὶς ἐπερείδετο ῥάβδῳ,
Οἷά περ ἐν ζωοῖσιν. ἑὴν δ᾽ ἔκλινεν ἀκουὴν
Δεξιτερήν· δόκεεν δὲ καὶ Ἀπόλλωνος ἀκούειν,
Ἢ καὶ Πιερίδων τινὸς ἐγγύθεν. ἐν δ᾽ ἄρα θυμῷ,
Σκεπτομένῳ μὲν ἔικτο, νόος δέ οἱ ἔνθα καὶ ἔνθα
Ἐξ ἀδύτων πεφόρητο πολυστρέπτοιο μερίμνης,
Πιερικῆς Σειρῆνος Ἀρήιον ἔργον ὑφαίνων.

Præcedentibus epigrammatis (quæ ex Anthologiæ libris collecta ſunt, vti dixi) duo addam quæ primus (quod ſciam) publicauit Gerardus Falkenburgius, vir de Muſis bene meritus. Afferam autem Nonni locum, qui ei occaſionem publicandi præbuit: verba ipſiuſmet quæ in illa præfatur, ſubiuncturus. Quædam igitur Nonnus in Homeri laudem canit in iſto libri XIII, *Dionyſiacων loco,*

Οὐ γὰρ ἐγὼ τόσα φῦλα δέκα γλώσσῃσιν ἀείσω,
Οὐδὲ δέκα στομάτεσσι χέων χαλκόθροον ἠχώ,
Ὁππόσα Βάκχος ἄγειρε δορυσσόος. ἀλλὰ λιγαί-
Ἡγεμόνας, καὶ Ὅμηρον ἀοσσητῆρα καλέσσω, (νων
Εὐεπίης ὅλον ὅρμον. ἐπεὶ πλωτῆρες ἀλήτην
Πλαγκτοσύνης καλέουσιν ἀρηγόνα κυανοχαίτην.

Libet hoc loco (inquit ille) vbi tam præclara fit dei poetarum Homeri mentio, epigrammata quædam in ipſius ſcripta laudem inſerere: quæ anno CIↃ. IↃ. LXVII, *cùm vrbis Romæ reliquias non ſine admiratione contemplarer, ex vetuſtiſſimo marmorei termini fragmento deſcripſi. Quibus quaſi emblemate coniecturas meas exornare volui; quòd ſciam illa nondum à quoquam publicata. Neque dubito quin ſingularem omnibus elegantioribus hominibus ſint voluptatem allatura. nam & venuſtiſſima ſunt ipſa; & terminus ille cùm Homeri capite in AEliani, qui μελί-*

γλωῦσος *appellabatur, horto (ſi diuinare licet) poſitus fuit. Seruatur autem nunc in Mauſoleo Auguſti Cæſaris. Et primum quidem epigramma, quod paucis immutatis reperitur libro tertio* ἀνθολογίας, *ita ſe habet.*

ὍΜΗΡΟϹ.

Ἡρώων κάρυκ᾽ ἀρετᾶς, μακάρων τε προφήταν,
Ἑλλαίνων δόξης δεύτερον ἀέλιον·
Μουσέων φέγγος Ομηρον ἀγήρατον στόμα κόσμου
Παντὸς ὁρᾷς τοῦτον δαίδαλον ἀρχέτυπον.

β.

Οὐκ ἔθος ἐστὶν ἐμοὶ φράζειν γένος, οὐδ᾽ ὄνομ᾽ αὐτό·
Νῦν δ᾽ ἕνεκ᾽ Αἰλιανοῦ πάντα σαφῶς ἐρέω.
Πατρὶς ἐμοὶ χθὼν πᾶσα, τὸ δ᾽ οὔνομα φασὶν Ὅμη-
Ἔστι δὲ μουσάων, οὐκ ἐμὸν οὐδὲν ἔπος. (ρον.

γ.

Εἰ μὲν θνητὸς ἔφυς, πῶς ἀθάνατόν σ᾽ ἐποίησαν
Μοῦσαι, καὶ μοιρῶν νῆμ᾽ ἀνέκλωσαν, ἄναξ;
Εἰ δ᾽ ἦσθ᾽ ἀθάνατος, πῶς ἐν θνητοῖς σ᾽ ἀριθμοῦσιν;
Οὐ μά σε ταῦτ᾽ ἐχρῆν σεμνὲ ποιητὰ φρονεῖν·
Ἀλλ᾽ ἔγνων τὸ ἀληθὲς, ἐπεὶ τὸ σαφὲς διάφυγε,
Ἄνθρωπον φασὶν θεῖε σ᾽ Ὅμηρε πέλειν.

Poſtremò addere poſſumus, vel potius debemus, his epigrammatis (& præſertim iis in quibus quæ ſit Homeri patria quæritur) quoſdam ipſiuſmet Homeri verſus, ex quibus co-

gnoſcere aut ſaltem coniicere licet, Chium, patriam eius fuiſſe. in ea quidem certè domicilium ſe habuiſſe perhibet. Extant autem in quodā eius hymno, vno ex iis qui ad nos peruenerunt. éſtque is ordine primus, & εἰς Ἀπόλλωνα *inſcriptus.*

Ἀλλ᾽ ἄγε δὴ Λητὼ μὲν Ἀπόλλων τ᾽ Ἀρτέμιδι ξύν,
Χαίρετε δ᾽ ὑμεῖς πᾶσαι· ἐμεῖο δὲ καὶ μετόπισθε
Μνήσασθ᾽, ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
Ἐνθάδ᾽ ἀνείρηται ξεῖνος ταλαπείριος ἐλθών,
Ὦ κοῦραι τίς δ᾽ ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
Ἐνθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα;
Ὑμεῖς δ᾽ εὖ μάλα πᾶσαι ὑποκρίνασθε ἀφ᾽ ὑμέων,
Τυφλὸς ἀνήρ, οἰκεῖ δὲ Χίῳ ἐνὶ παιπαλοέσσῃ·
Τοῦ πᾶσαι μετόπισθεν ἀριστεύουσιν ἀοιδαί.

Nequis autē de hymno iſto, ac nominatim de his illius verſibus, dubitet, ſciat ab Ariſtide afferri, in ea quam κατὰ τῶν ἐξορχουμένων *ſcripſit oratiuncula. Repetam autem altius eius verba, vt quorſum hoc teſtimonio Homeri vtatur, intelligi poßit.* ἀλλ᾽ ὥσπερ τὰ μηχανήματα αἱρεῖν πέφυκε, κἂν μηδεὶς εἰδῇ τῶν ἐναντίων ἐξ ὅτου καὶ ὅπως συνετέθη· οὕτω λόγος εὖ συντεθεὶς τὸ αὑτοῦ δρᾷ, κἂν τοῖς ἀπειροτάτοις ἐντύχῃ. θαυμάζω δὲ εἰ οἶνον, καὶ σῖτον, καὶ ἔλαιον, καὶ μέλι, καὶ κρέα καὶ τραγήματα, καὶ γάλα, καὶ χρήματα καὶ ὕδωρ καὶ ξύλα καὶ λίθους οὐδ᾽ ἂν εἷς ἡ-

δέω φήσετε τὰ διεφθαρμένα τῶν ἀδιαφθόρων· λόγοις ἢ τοὺς ὡς καθαρώτατα καὶ εἰλικρινέστατα ἔχοντας, ἀηδεστέρους εἶναι τῶν διεφθαρμένων, οὐδ᾽ ἂν εἰς ταῦτα φήσετε. καὶ ταῦθ᾽ ὅτι οὐ τοῦ παραδόξου λέγεται χάριν, ἀλλ᾽ ἀμήχανον ἄλλως ἔχειν αὐτὰ, κατηγορεῖ τις ἄριστος ἐπῶν ποιητὴς Ὅμηρος, τίς θ᾽ ὡς πλεῖστον ἀνθρώποις ἀρέσκει, καὶ τῷ μάλιστα χαίρουσι. ἢ τοῦτό γε καὶ αὐτὸς ὑπὲρ αὐτοῦ προείδετο. διαλεγόμενος γὰρ ταῖς Δηλιάσι, καὶ καταλύων τὸ προοίμιον, εἴ τις ἔροιθ᾽ ὑμᾶς, φησὶν, ὦ κοῦραι, τίς &c.

IN POEMATIA

quæ παρῳδαὶ ſiue παρῳδίαι vocantur,

HENRICI STEPHANI PRAEFATIO.

Homericis παιγνίοις, quorum nonnulla in ſuperioribus opuſculis leguntur, aptiſſimè ſubiuncturum me putaui παιγνίων aliud quoddam genus: quod licet Homero non adſcribatur, Homericum tamen aliqua ex parte eſt: vtpote ex Homeri verbis, vel potius ex certis ſingulorũ eius verſuum particulis artificiosè conſarcinatum. Ingeniosè profectò iſtud furti genus fuit excogitatum, quod eiuſmodi eſt vt vix furtum dici poſsit: adeò vt ſi reuiuiſcens Homerus aliquẽ τ̃ παρῳδῶν ſuos verſus eò modo furantem vel ἐπαυτοφώρῳ deprehendiſſet, & illum in ius vocaſſet, in medio etiam Areopago cauſa fuiſſe caſurum exiſtimem. Quod tamen ſic accipi velim tanquam de doctis furandi artificibus à me dictum. Quèmadmodum enim ſcribit Xenophon, quanuis Lacedæmone furari impu-

ne liceret, ſolitos tamen eos cædi qui non ſatis cautè furarentur: atque hoc minimè mirum debere videri ait, quum & in aliis rebus ſoleant vapulare diſcipuli qui non rite exequūtur quod edocti fuerint: ita certè eos qui Homero vel alij ſuos verſus, vel potius certas ſuorum verſuum portiunculas, non ea cautione qua decebat ſurripuiſſent, pœnas daturos fuiſſe exiſtimo. Sed illi Xenophontei fures non ſatis cautè furari dicebantur ſiquando cōtingeret vt in furto deprehenderētur: at παρῳδοῖς *in eo tantùm adhibenda cautio eſt, vt quæ furati verba fuerint in alium vſum conuertant, qui tam remotus ſit ab eo quem apud ſuum autorem habebant (quod attinet ad ſenſa quibus exprimendis adhibita erant) vt nihil tale illi dum iis vteretur, in mentem veniſſe dici poßit. Matro quidem certè (vt cæteros* παρῳδοὺς *omittam) nequaquam pœnas dediſſet. Quum enim caneret Homerus,*

Ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ

quid minus in mentem ei veniſſe putandum eſt, quàm rogare ſuam Calliopen vt ipſi δεῖπνα πολυτρόφα καὶ μάλα πολλὰ *memoraret? In hunc tamen vſum aliquam illius verſus particulam accommodauit Matro, in hoc ſuo per parodiam facto verſu,*

Δεῖπνά μοι ἔννεπε Μοῦσα πολυτρόφα καὶ μάλα πολλά.

Idem verò & de cæteris verſibus dicendum eſt. Nam ille,

Ἦλθον γὰρ κἀκεῖσε, πολὺς δέ μοι ἕσπετο λιμὸς,

παρῴδηται, *ex iſto Odyſſ.* ζ,

Ἦλθον γὰρ κἀκεῖσε, πολὺς δέ μοι ἕσπετο λαός.

Illi autem duo,

Οὓς δὴ καλλίστους ἄρτους ἴδον ἠδὲ μεγίστους,
Λευκοτέρους χιόνος, ἔσθειν δ' ἀμύλοισιν ὁμοίους,

Imitantur hoſce duos, ex Iliad. κ,

Τοὺς δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους.
Λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

At in illo,

Τάων καὶ Βορέης ἠράσσατο πεπλομενάων,

ſibi propoſuit iſtum, ex Iliad. υ, *de equabus.*

Τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων.

Eundémque verſum rurſus imitatur alibi in iſto,

Τάων φυομενάων ἠράσσατο πότνια γαστήρ.

Illo denique carmine,

Αὐτὸς δὲ Ξενοκλῆς ἐπεπωλεῖτο στίχας ἀνδρῶν,

repræſentat nobis iſtud ex Il. γ,

Αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν.

Quo ſunt autē inſigniores & celebriores verſus, eo iucundior eſt quæ illos repræſentat parodia. vt videre eſt in iſtis,

Καὶ σικυὸν εἶδον, γαίης ἐρικυδέος υἱὸν

Κείμθυον ἐν λοπάδεσσ'· ὁ δ' ἐπ' ἐννέα κεῖτο τραπέζας.

ſunt enim παρῳδημθύοι ex hiſce Homericis Odyſſ. λ, qui ſunt celeberrimi,

Καὶ Τιτυὸν εἶδον γαίης ἐρικυδέος υἱὸν,
Κείμθυον ἐν δαπέδῳ· ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα.

Sed ex duobus illis Matronis verſibus, priorē ita ſcribo vt apud Euſtathium ſcriptum inueni, non vt apud Athenæū legitur. apud hunc enim hæc eius eſt ſcriptura,

Καὶ Τιτυὸν εἶδον λίμνης ἐρικυδέα γόγγρον.

Neque tamen in altera illa ſcriptura fides librarij ſuſpecta nobis eſſe poteſt, nec quin ex Euſtathij autographō ſumpta ſit, dubitari: quum is ſcribat, ἰστέον ἢ ὅτι τῶν τις πάλαι ἀστείων παρῴδησεν ἐν τοῖς ῥηθεῖσιν οὕτως ἐπὶ συκῶν μεγάλων, Καὶ σικυὸν ἴδον &c. Quibus ſubiungit, Μάτρων ἢ (φασὶν) ἐκεῖνος ἦν, ὁ παρῳδός. De qua lectione obiter admonendum lectorem putaui, alibi (ſi vacauerit) de ea plura dicturus.

Cæterùm videri poteſt Homerus παρῳδίας exemplum primus præbuiſſe: vbi nimirū, tanquam ſuos ipſe verſus imitans, in re diſſimili nobis penè ſimiles exhibet, id eſt, iiſdem verbis magna ex parte compoſitos. veluti quum canit Odyſſ. γ,

Κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι.

at Iliad.ρ,

Κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι.

Itidem quum Iliad.α, vtitur hoc verſu,

Ἔχθιστος δέ μοι ἐσσὶ διοτρεφέων βασιλήων.

at lib.ε, eiuſdem poematis,

Ἔχθιστος δέ μοι ἐσσὶ θεῶν οἳ Ὄλυμπον ἔχουσιν.

Quibus exemplis addere poſſem non pauca, ſi neceſſe videretur.

Placuit verò Græcis ludicra hæc carmina παρῳδὰς ſiue παρῳδίας vocare. Ac licet ᾠδὴ poetis tribuatur, ſicut ᾄδειν, eſſe tamen κατάχρησιν in iſto nominis παρῳδὴ vſu dicendum eſt, ſi Fabium ſequi velimus. Is enim de hoc vocabulo παρῳδὴ ſcribit, Quod nomẽ ductum à canticis ad aliorum ſimilitudinem modulatis, abuſiuè etiam in verſificatione ac ſermonũ imitatione ſeruatur. Ariſtoxenum certè audimus hæc dicentem apud Athenæum, ὥσπερ τῶν ἑξαμέτρων τινὲς ἐπὶ τὸ γελοῖον παρῳδὰς εὗρον, οὕτω καὶ τῆς κιθαρῳδίας πρῶτος Οἰνώπας. Quibus verbis τὰς τῆς κιθαρῳδίας παρῳδὰς poſterius inuentas fuiſſe ſignificari videtur. Quanuis autem dicat παρῳδὰς non verſuum cuiuſlibet generis, ſed ἑξαμέτρων, extare tamẽ & in alio verſuum genere ſciendum eſt. Sed primas fuiſſe τῶν ἑξαμέτρων, & quidem Homericorum, credibile eſt: quòd poemata illius magna ex parte memoriæ mandare poetices

præſertim ſtudioſi ſolerent. Parodiarum ſcriptor dictus itidem fuit παρῳδός. *Inde factum fuit & verbū* παρῳδεῖν. *Atque vt poeta, vel quicunque eſt parodiæ ſcriptor, dicitur* παρῳδεῖν, *aut cum adiectione,* παρῳδεῖν *eum verſum quem imitatur: ita viciſſim verſus qui ad imitationem alius ſcribitur,* παρῳδεῖσθαι. *Et modò verſus aliquis* παρῳδεῖσθαι *dicitur* ἐκ τοῦ Ὁμηρικοῦ, *vel* ἀπὸ τοῦ Ὁμηρικοῦ, *modò* πρὸς τὸν Ὁμηρικόν. *Quos verborum* παρῳδεῖν *&* παρῳδεῖσθαι *vſus cùm apud alios habemus, tum verò apud Euſtathium. Verùm his multo rarius eſt* ἀντιπαρῳδεῖν, *quod apud Strabonem legitur, lib. IX. vbi loquitur de verſu quem Megarenſes oppoſuerunt illi verſui,*

Στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες,

quem apud Homerum Solon vel Piſiſtratus credebatur παρεγγράψαι ἐν τῷ νεῶν καταλόγῳ *poſt hunc,*

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας.

Scribit enim, οἱ μὲν οὖν Ἀθηναῖοι τοιαύτην τινὰ σκήψασθαι μαρτυρίαν παρ' Ὁμήρου δοκοῦσιν. οἱ δὲ Μεγαρεῖς ἀντιπαρῳδῆσαι αὐτοῖς οὕτως,

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας.
Ἔκ τ' Αἰγειρούσσης, Νισαίης τε, Τριπόδων τε.

Vbi verbo ἀντιπαρῳδῆσαι *manifeſtum eſt ſignificari Parodiam parodiæ opponere: ſed nō verè & propriè hîc eſſe parodiam, aut certè*

eſſe parodiæ nouum genus, dicendum fuerit.

Verùm pro παρῳδεῖν *obſeruaui à veteribus interdum dici* παραποιεῖν. *quo verbo vſus eſt & Dion Chryſoſtomus, afferens quoſdam verſus per parodiam fictos ex Homericis, in ſua ad Alexandrinos oratione.* Τοιγαροῦν *(inquit)* οὐ κακῶς τις παρεποίησε τῶν σαπρῶν τούτων ποιητῶν,

Ἄρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
Ἄλλοτε δ' ἀΐξασκε μετήορα. τοὶ δὲ θεαταὶ, *&c.*

Quinetiam ipſi grammatici ita vſi ſunt nonnunquam. veluti quum ſcribit Euſtathius, παραποιήσας δέ τις τὸ, νέκταρος ἀπορρὼξ, παρὰ τῷ δειπνοσοφιστῇ, ἐπὶ κάπρου θαλαττίου ἔφη, νέκταρος αὖθις. *Sed hoc eſt inter* παρῳδεῖν *&* παραποιεῖν *diſcriminis, quòd hoc in ſoluta etiam oratione locum habet. Ac fortaßis participium paßiuum* παραπεποιημένα *apud Ariſtotelem Rhetoricorum lib. 3, ad hanc ipſam ſignificationem referendum nobis fuerit: vbi ſcribit,* ὥσπερεὶ ἐν τοῖς γελοίοις τὰ παραπεποιημένα. *Eodem certè modo Philoxenus* ἑξαμέτρων παρῳδὰς *inuentas eſſe dicit* ἐπὶ τὸ γελοῖον, *in loco quem paulo antè ex eo attuli: & illo etiam tacente hoc manifeſtum eſſe poteſt. Repono autem* ὥσπερεὶ *pro* ὥσπερ οἱ, *ne amplius negotium cuiquam hic articulus fa-*

ceſſat. Obſeruaui præterea & quendam verbi παρατρέπειν vſum ἐπὶ τῶν παρῳδούντων. veluti quum ſcribit AElianus, τότε δέ φασι Συρακούσιον ἄνδρα χαρίεντα, καὶ τοῦ Ὁμήρου μὴ ἀπαίδευτον, ἡσθέντα τῇ ὄψει ταύτῃ, ἐπειπεῖν τὰ ἐξ Ἰλιάδος ἐκεῖνα, παρατρέψαντα ὀλίγον,

--μέγα δ᾽ ἔβραχε φήγινος ἄξων Βριθοσύνῃ. δεινὸν γὰρ ἄγε βροτὸν, ἄνδρα τ᾽ ἄριστον.

Dicitur autem hoc de curru quo Plato vehebatur. Sed interpres huius verbi παρατρέπειν ſignificationẽ ridiculè παρέτρεψεν: interpretãs, Paululũ remiſſo curru. Iã verò & μεταγράφειν dicũtur qui in verſu ſeu in verſibus quædam immutãtes, aliam ſententiã efficiũt. Ac de iis potiſſimum dici puto qui ita mutant vt ſimul ſententiam emendent: ſicut docebo in ſequentibus. Alioqui μεταγράφειν in iis etiam quæ ſoluta oratione ſcripta ſunt, eſt quidpiam immutare, delendo videlicet aliquod verbum vel aliqua verba, & alia pro illis ſcribendo. Sic Plutarchus hæc, Ἡροδότου Ἁλικαρνασῆος, quoſdam μεταγράφειν ait, Ἡροδότου Θουρίου.

Παρεμπλοκὴ denique & παρῳδία apud Hermogenem eodem propemodum pertinent. Sed de hoc præmonitum eſſe oportet, παρῳδίαν apud eum ſignificationem ab ea de qua dictum eſt habere diuerſam. ſiquidem ἐν τῷ περὶ μεθόδου δεινότητος, eo capite quo docet quæ ſit χρῆσις ἐπῶν ἐν πεζῷ λόγῳ, duplicem

eſſe dicit: nimirum κατὰ κόλλησιν *&* κατὰ παρῳδίαν. *Et* κόλλησιν *quidem eſſe,* ὅταν ὁλόκληρον τὸ ἔπος εὐφυῶς κολλήσῃ τῷ λόγῳ, ὥστε συμφωνεῖν δοκεῖν: *at verò* κατὰ παρῳδίαν, *eſſe* ὅταν μέρος εἰπὼν τοῦ ἔπους, παρ' αὐτοῦ τὸ λοιπὸν πεζῶς ἑρμηνεύσῃ καὶ πάλιν τοῦ ἔπους εἰπὼν ἕτερον, ἐκ τοῦ ἰδίου προσθῇ· ὡς μίαν γενέσθαι τὴν ἰδέαν. *Cuius rei exemplum iſtud ex Demoſthene* ἐν τῷ περὶ παραπρεσβείας *affert,* ὅστις δ' ὁμιλῶν ἥδεται, καὶ ταυτὰ πρεσβεύων Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα, γινώσκων ὅτι ἀργύριον εἴληφεν οὗτος, ὥσπερ Φιλοκράτης, ὁ ὁμολογῶν. *Vt autem intelligi poſſit quod hîc dicitur ab Hermogene de iis quæ per* παρῳδίαν *poſita ſunt, hoc noſſe oportet, præcedere breuiſſimo interuallo apud Demoſthenem iſtos iambicos verſus,*

Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ
Οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
Τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών.

Quibus ſubiungi hæc, εἶτα τὴν εἰς τοὺς ὄρνις εἰσιόντα, καὶ μετὰ Πιτταλάκου περιϊόντα, καὶ τοιαῦτ' εἰπών, ἀγνοεῖτ', ἔφη, ποῖόν τινα ἡγεῖσθαι δεῖ; *Deinde conuerſo ad AEſchinem ſermone,* οὐκοῦν Αἰσχίνη καὶ κατὰ σοῦ τὰ ἰαμβεῖα ταῦθ' ἁρμόσει νῦν ἐμοί. κἂν ἐγὼ λέγω πρὸς τούτους, ὀρθῶς καὶ προσηκόντως ἐρῶ, ὅστις δ' ὁμιλῶν ἥδεται καὶ ταυτὰ πρεσβεύων Φιλοκράτει, *&c. Nunc ad* παρεμπλοκῆς *exempla veniendum eſt. Legimus*

igitur tomo II περὶ ἰδεῶν *capite* περὶ γλυκύτητος, τὸ δ' αὐτὸ αἴτιον οἶμαι τοῦ καὶ τὰς παραπλοκὰς τῶν ποιημάτων ἐν λόγῳ ἡδονὴν ἔχειν. οἷον, Σύν τε δύ' ἐρχομένω βουλευσόμεθ' ὅ, τι ἐροῦμεν. *Cui exemplo ſubiungit iſtud, ex eodem ſcriptore, nimirum Platone (nam prius illud ex eius Sympoſio ſumptũ eſt) Polit. lib. 5,* ἀλλὰ μὴν καὶ καθ' Ὅμηρον τοῖς τοιούτοις δίκαιον τιμᾶν τῶν νέων ὅσοι ἀγαθοί. καὶ γὰρ Ὅμηρος τὸν εὐδοκιμήσαντα ἐν τῷ πολέμῳ, νώτοισιν ἔφη διηνεκέεσσι γεραίρεσθαι Αἴαντα. *&c. Et paucis interiectis, addit,* ὁ δὲ Πλάτων καὶ ἀφειδέστερον ἐν τῷ συμποσίῳ, καταχρησάμενος τῷ τοῦ Ἀγάθωνος προσώπῳ ὡς ποιητοῦ, τῇ παραπλοκῇ ταύτῃ ἐχρήσατο. οὐ γὰρ ἀπ' ἀλλοτρίων ποιημάτων τινά, ἀλλ' αὐτὸς ποιήσας παρέπλεξε· προδιορθωσάμενος μέντοι, ἵνα μὴ πάντη αὐτεξούσιον εἶναι δοκῇ τὸ λεγόμενον. οἷον, ἐπέρχεταί δέ μοί καί τι ἐμμέτρως εἰπεῖν ὅτι οὗτός ἐστιν ὁ ποιῶν, εἶτα τὸ μέτρον ἐπήγαγεν, Εἰρήνην μὲν ἐν ἀνθρώποις, πελάγει δὲ γαλήνην, Νηνεμίαν δ' ἀνέμοις, κοίτην ὕπνον τ' ἐνὶ κήδει. *Plura ibi videnda relinquo, quũ ex his patere poßit quod dixi de ſimili vocũ* παρῳδία *&* παραπλοκὴ *vſu apud hunc ſcriptorem. Sed quum alia ſit vulgaris ſignificatio vocabuli* παρῳδία, *nõ placet quòd Budæus* παρέπλεξε *in loco proximè præcedente exponit Per parodiam dixit. Cauendum eſt autem*

tem ne περιπλοκὴν hîc ἀντὶ παραπλοκῆς dicamus: quũ illud rem ei longè diuerſam ſignificet. vocat enim περιπλοκὴν quum pro vno verbo, aperto quidem, ſed odioſo, pluribus vtimur, rem velut implicitè declarantes.

Verùm vt ad vocem παρῳδία reuertar, ne ibi quidem videtur huic vocabulo vulgarẽ vſum tribuere Hermogenes, vbi hunc verſum Ariſtophanis, Ὁλῷς; Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει, parodiam habere tradit. Neque enim hîc pars verſus aliis verbis conſtat, id eſt aliunde aſcitis: ſed alia tantùm eſt in tribus verbis litera, nimirum λ pro ρ, ad exprimendam videlicet τραυλότητα.

At Suidas nomini παρῳδία non diuerſam quidem à prima tribuit ſignificationem: ſed eius vſum reſtringit, eam verba tragœdiæ ad comœdiam trãsferre dicens. Cuius vſus exẽpla in ſequentibus afferam: nunc autem ad eos veniam qui eo genere parodiæ cuius facta fuit in ſuperioribus mentio, & cuius aliquot iam exempla protuli, vſi fuerunt.

PARODIAE igitur inuentorẽ fuiſſe Hipponactẽ τὸν ἰαμβοποιὸν, tradit apud Athenæũ Polemo. Parodiarum autem ſcriptores præter eum fuerunt, cùm alij, tum iſti, teſte Athenæo: Matro, Hegemon, Sopater, Eubœus, Bœotus. Inter hos celebris extitiſſe, ac celebritate certè

f.i.

dignus fuiſſe videtur Matro: atque adeò ab Euſtathio dicitur ὁ περίπυστος παρῳδός. *Fuerũt autem & alij recentiores. ut diſcimus ex Euſtathio, dicente alicubi,* τῶν τις νεωτέρων παρῳδῶν. *Alicubi verò dicit* τῶν τις ὕστερον παρῴδησε: *vbi de vtris loquatur incertum eſt. Veluti quum de hiſce primis Odyſſeæ verbis loquens,* Ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον, *ſcribit,* ἰστέον δὲ ὅτι Ὁμήρου πολύτροπον τὸν Ὀδυσσέα γράψαντος, τῶν τις ὕστερον σκωπτικῶς παρῳδήσας ἔγραψε, Ἄνδρα μοι ἔννεπε μοῦσα πολύκροτον. *quod* πολύκροτον *exponit* κακεντρεχῆ καὶ μὴ ἁπλοῦν.

Parodiis luſerunt & nonnulli philoſophi. vt legimus apud Diogenẽ Laertium de Bione, εὐφυὴς γὰρ ἦν καὶ παρῳδῆσαι. οἷά ἐστιν αὐτοῦ καὶ ταῦτα,

Ὦ πέπον Ἀρχύτα ψαλληγενὲς ὀλβιότυφε,
Τῆς ὑπάτης ἔριδος πάντων ἐμπειρότατ᾽ ἀνδρῶν.

Affert item quandam Carneadis parodiam: ita de illo ſcribẽs, οὗτος ποτὲ, Μέντορος τοῦ Βιθυνοῦ μαθητοῦ ὄντος, καὶ παρ᾽ αὐτὸν ἐλθόντος εἰς τὴν διατριβὴν, ὡς ἐπείρα αὐτοῦ τὴν παλλακὴν ὁ Μέντωρ, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, μεταξὺ λέγων παρῴδησεν εἰς αὐτὸν,

Πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς,
Μέντορι εἰδόμενος ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.

Vbi obſeruandum eſt vnicum vocabulum eſſe

mutatum,& quidem in terminatione dunta-xat:nimirum εἰδομένη *in* εἰδόμενος. *Legitur enim prior verſus Odyſſ.*δ*,iiſdem planè verbis.at libro* β*,eiuſdem poematis, de Minerua dicitur,* Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν. *Timonis autem parodiarũ fragmẽta,tum quæ idem affert, tum alia huic præfationi unà cum aliis ſubiungam. Legimus apud eundem & Platonis verſum in quo eſt parodia. Scribit enim eum igni ſua poemata imponentem dixiſſe,*

Ἥφαιστε πρόμολ' ὧδε· Πλάτων νύ τι σεῖο χατίζει.

vbi vnicum iſtius Homerici verſus immutatur verbum,

Ἥφαιστε πρόμολ' ὧδε· Θέτις νύ τι σεῖο χατίζει.

ſed hoc venuſtatem addit iſti parodiæ, quòd apud Homerum Ἥφαιστος *ſit ipſe deus Vulcanus, Plato autem ignem appellatione eius ſignificet.*

Cratetis Thebani quoque parodiæ quædam apud eundem atque apud alios extant. Affert certè quoddam eius παίγνιον *mixtum ex huiuſmodi verſibus qui per parodiã facti ſunt, & aliis qui nullam habent.*

Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ,
Καλὴ καὶ πίειρα, περίρρυτος, οὐδὲν ἔχουσα.
Εἰς ἣν οὔτε τις εἰσπλεῖ ἀνὴρ μωρὸς παράσιτος,
Οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῇσιν·

Ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους.
Ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλοις, περὶ τούτων
Οὐχ ὅπλα κέκτηνται, περὶ κέρματος, οὐ περὶ δό-
ξης.

Primi enim duo verſus parodicam imitationem habent verſuum horum Odyſſeæ, libro τ,

Κρήτη τις γαῖ' ἔστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
Καλὴ καὶ πίειρα, περίρρυτος. *at in cæteris nulla eſt eiuſmodi imitatio, quod ſciam. Cæterùm in quarto verſu* ἐπαγαλλόμενος *repoſui ex vet. exempl. pro* ἐπαγγελλόμενος. *quã emendationem habet & mea editio Diogenis, quæ ante aliquot menſes prodiit. Sed eſt in ſecundo etiam verſu de quo lectorem monere velim: nimirum mihi videri reponendum* περίρρυπος *pro* περίρρυτος. *Siquidem quàm bene* νήσῳ *conuenit epithetum* περίρρυτος, *tam bene peræ epithetum* περίρρυπος, *id eſt ſordibus obſita: ſicut & præcedente epitheto dicit illam eſſe* πίειραν, *id eſt pinguedine obductam. Nec mirum videri debet quòd præcedat* καλή. *decet enim hoc peram, præſertim quæ ſit Cratetis, eſſe* πίειραν *&* περίρρυπον. *Adde quòd lepidiſsima ſunt in parodiis ea vocabula quæ ſcriptura proximè accedunt ad voces verſuum quos imitantur, quum tamen ſignificatione longiſsimè recedant.*

Extat autem eiuſdem philoſophi, Cratetis

& iſta parodia, verſibus hexametris,

Καὶ μὴν καὶ Στίλπων' ἐσίδον χαλέπ' ἄλγε' ἔ-
χοντα
Ἐν Μεγάροις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.
Ἔνθα δ' ἐρίζεσκεν· πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι,
Τὴν δ' ἀρετὴν παρὰ γράμμα διώκοντες κατέ-
τριβον.

Vbi itidem pars vna parodiam habet, altera non item. Primus verſus imitatur iſtum Homeri, Odyſſ. λ,

Καὶ μὴν Τάνταλον εἰσεῖδον κρατέρ' ἄλγε' ἔχοντα.

Poteſtque, hanc ſcripturã ſequẽdo, legi & ita ille primus verſus, aſſentiẽtibus etiã vet. cod.

Καὶ μὴν Στίλπων' εἰσεῖδον χαλέπ' ἄλγε' ἔχοντα.

Inueniuntur & epigrammatum quorundam παρῳδίαι, *ſiue epigrãmata quædam* παρῳδηθέντα. *vt hoc in Aiacem,*

Ἃδ' ἐγὼ ἁ τλάμων ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ, κειραμένα πλοκάμους.
Θυμὸν ἄχει μεγάλῳ βεβολημένα, οὕνεκ' Ἀχαιοῖς
Ἁ δολόφρων ἀπάτα κρέσσον ἐμοῦ κέκριται.

Ita enim quidam παρῴδησεν *hoc epigramma* κατὰ τῆς ἡδονικῆς φιλοσοφίας,

Ἃδ' ἐγὼ ἁ τλάμων ἀρετὰ παρὰ τῇδε κάθημαι
Ἡδονῇ, αἰχίστως κειραμένη πλοκάμους.
Θυμὸν ἄχει μεγάλῳ βεβολημένη, εἴπερ ἅπασιν
Ἁ κακόφρων τέρψις κρεῖσσον ἐμοῦ κέκριται.

Eodẽ modo Sardanapali ἐπιτάφιον ἐπιγραμ-

μα Crates apud Laertium per parodiam immutat. Ex his enim verſibus,

Ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
Τέρπν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται,

iſtos fecit per parodiam,

Ταῦτ' ἔχω ὅσσ' ἔμαθον καὶ ἐφρόντισα, καὶ μετὰ μουσῶν
Σέμν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψε.

Sic etiam epitaphium Timocreontis poetæ imitatur in primo verſu primum alius cuiuſdam in Sardanapalum epitaphij verſum: hūc videlicet,

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ τρυφήσας.

Hoc enim diſtichum in Timocreontem ſcriptum fuit,

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπὼν
Ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

Sed magis frequens eſt alterum illud in Sardanapalum epigramma ἐπιτάφιον *cuius modò facta mentio fuit, & quod Crates illa pulcherrima parodia eſt imitatus. In quo pro* μετ' ἔρωτος *legitur etiam* σὺν ἔρωτι, *item* μετ' ἐρώτων. *Quæ lectio & apud Dionem extat, qui & alia quædam aliter ſcribit quàm vulgò ſcribi ſoleant: nimirum ita,*

Τόσσ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτων
Τέρπν' ἔπαθον· τὰ δὲ λοιπὰ καὶ ὄλβια πάντα λέλειπται. *Obſeruatu hoc quoque dignum eſt, quòd duos hoſce verſus hexametros,* ἐλεγεῖον *appellat: ſcribens,* καὶ τὸ τοῦ Σαρδαναπάλου περιφέρεται πολλάκις ἐλεγεῖον.

Sed epitaphium Sardanapali (vt de hoc quoque obiter moneam) alicubi inuenitur conſtans ſex verſibus, adiecto videlicet iſto, duobus illis quos Cratetis imitatur parodia,

Ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισι.

Alicubi etiam habens ſeptem verſus: nimirum ad duos illos accedentibus hiſce duobus,

Ἥδε σοφὴ βιότοιο παραίνεσις· οὐδέποτ' αὐτῆς
Λήσομαι. ἐκτήσθω δ' ὁ θέλων τὸν ἀπείρονα χρυσόν.

Qui verſus apud Athenæum extant, lib. 8, apud quem etiam quidam ſimile dans conſilium, verbo παραινέσαι *vtitur, ſicut ibi* παραίνεσις *legimus.*

Πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι
Τοὐφήμερον ζῆν ἡδέως. ὁ γὰρ θανὼν
Τὸ μηδέν ἐστι καὶ σκιὰ κατὰ χθονός·
Μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρεών.

vbi verbo παραινέσαι *ad illud nomen* παραίνεσις *alluſiſſe videri poteſt: ideóque tertius ille verſus pro recenti adiectione minimè eſſe habendus: præſertim quum & Strabo eum cate-*

ris adiiciat. Apud eum enim, ſicut & apud Athenæum, necnon in Anthologia epigrammatum, totum epitaphium ita ſcriptum eſt,

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε,
Τερπόμενος θαλίῃσι. θανόντι τοι οὔτις ὄνησις.
Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.
Ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
Τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
Ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισιν.

Sed apud Athenæum (vt oſtendi) extat & ſeptimus verſus, cohærens cum ſexto, vbi pro vocabulo ἀνθρώποισιν *aliud habetur. Iam verò & tertio quodam modo ſcriptum inuenitur hoc epitaphium, nimirum tertio verſu eorum qui in proximè præcedēte leguntur, accedente ad illos duos quos Crates* παρῴδησε. *ita videlicet,*

Ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος
Τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.

atque ita ſcriptum cum apud alios inuenies, tum verò apud Clementem & Theodoretū.

Sed minimè germanam eſſe hanc ſcripturam puto: potiúſque in illis ſex verſibus, ſiue ſeptē, duo epitaphia perperam in vnum coaluiſſe dixerim. vt videlicet vnum epitaphiū ſit hoc,

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε
Τερπόμενος θαλίῃσι. θανόντι τοι οὔτις ὄνησις.
Καὶ γὰρ ἐγὼ &c.

alterum habeat tres qui ibi ſequūtur verſus, aut etiam duos duntaxat,

Ταῦτ᾽ ἔχω ὅσσ᾽ ἔφαγον &c. *Strabo certè, poſtquam ſex illos verſus attulit, quos eſſe duorū epitaphiorum arbitror, ſubiungit,* καὶ δὴ καὶ περιφέρεται τὰ ἔπη ταυτί, Ταῦτ᾽ ἔχω &c. *huic videlicet verſui adiungens alterum duntaxat, quem itidem parodia Cratetis nobis repræſentat. Sed vtrum è duobus credendū eſt? voluiſſe Strabonē ſignificare, duos hoſce verſus quos cæteris inſertos protulerat, afferri etiā ſeorſum: an potius nō à Strabone, ſed quopiam eius lectore, aut etiam à librario, cæteris inſertos eſſe? Hoc ſanè potius quàm illud mihi perſuaſerim. primùm quidem, quoniam ſex illos ſiue ſeptem verſus ad vnum idémque epitaphium minimè pertinere puto, vti dixi: deinde verò quoniam veriſimile eſt Strabonē non dicturum fuiſſe de illis duobus verſibus,* ὃ δὴ καὶ περιφέρεται τὰ ἔπη ταυτί, *miniméque eos repetiturum: ſed nos admoniturū duntaxat,*

verſus duos, quartum & quintum, ſeorſum ab aliis afferri. Auget verò meam ſuſpicionem, vel potius coniecturam meam confirmat Dion Chryſoſtomus, in quarta oratione περὶ βασιλείας, *ſcribens, eum qui voluptati eſt deditus, ſæpe Sardanapali* ἐλεγεῖον *proferre: ſubiungénſque illos tantummodo duos verſus: qui quomodo apud eum ſcripti ſint, antea docui. Confirmat illam meam coniecturam & Cratetis parodia, quem non partem epitaphij ſed totum imitari putandum eſt. Cui parodiæ acceptum etiam ferre oportet, quòd huius rei veritas à me hîc obiter inueſtigata, ſimilis alibi inueſtigationis lectorem admonere poteſt. Et quoniam in hoc ipſo Strabonis quem attuli loco inſigne quoddam erratum habemus, non prius huic ſermoni finem imponam quàm de eo lectorẽ admonuerim. Sciat igitur hæc verba,* ὡς τἄλλα τὰ ἀνθρώπινα οὐκ ὄντα τούτου ἄξια τοῦ ἀποκροτήματος, *quæ ibi leguntur poſt vltimum verſum epitaphij, iſtum videlicet,* Ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισιν, *non ſuo loco poſita eſſe: ſed ipſi epitaphio præfigi debuiſſe, nimirum adiungendo ea hiſce verbis,* οὐδ᾽ ὦ ξένε ἔσθιε, πῖνε, παῖζε.

CAETERVM *quanuis Ariſtoxenus apud Athenæum parodias ex verſibus hexametris fieri ſolitas dicat, non addens & ex*

